ἔχομεν $ΑΔ^2 = ΑΖ^2 + ΔΖ^2$ [1]), εἶναι δὲ $ΑΤ = ΑΖ$, καὶ συνεπῶς $ΔΤ^2 + 2ΔΤ \cdot ΑΤ = ΔΖ^2 = (ΑΔ^2 - ΑΤ^2)$. Ἐπειδὴ δὲ ἐλάβομεν $ΑΤ = ΑΖ$, εἶναι ἐπίσης $ΔΖ^2 = ΔΕ^2 + ΕΗ^2 + 2ΑΗ \cdot ΕΗ$ [2]). Τὸ τρίγωνον ΔΕΒ εἶναι ὅμοιον πρὸς ἕκαστον τῶν τριγώνων ΔΓΖ, ΔΑΖ, ἐπειδὴ αἱ γωνίαι ΑΓΔ, ΑΒΔ, ΓΑΔ εἶναι μεταξύ των ἴσαι, διότι ἑκάστη ἐξ αὐτῶν βαίνει εἰς τὸ ἥμισυ τοῦ τόξου ΑΔΒΓ. Ὑπάρχει λοιπὸν ἡ ἀναλογία $ΔΕ : ΕΒ = ΔΖ : ΑΖ$. Ἀλλὰ $ΔΖ : ΑΖ = ΔΖ^2 : ΔΖ \cdot ΑΖ = ΔΖ \cdot ΑΖ : ΑΖ^2$, ὡς ἐπίσης εἶναι $ΔΕ^2 : ΔΕ \cdot ΕΒ = ΔΕ \cdot ΕΒ : ΕΒ^2$. Ἐὰν δέ τις ἀφαιρέσῃ μέλη μιᾶς ἀναλογίας ἀπὸ τὰ ἀντίστοιχα μέλη ἄλλης ἀναλογίας, εἶναι δὲ οἱ λόγοι τῶν ἀναλογιῶν τούτων ἴσοι, τὰ ὑπόλοιπα σχηματίζουσι πάλιν ἀναλογίαν. Ἐὰν λοιπὸν ἀφαιρέσωμεν τὸ $ΔΕ^2$ ἀπὸ τοῦ $ΔΖ^2$, λαμβάνομεν, ὡς ἀνωτέρω ἐδείξαμεν, $ΕΗ^2 + 2ΑΗ \cdot ΕΗ$ ἢ $ΕΗ\ (ΑΕ + ΑΖ)$, καὶ ἂν ἀφαιρέσωμεν τὸ $ΔΕ \cdot ΕΒ$ ἀπὸ τοῦ $ΔΖ \cdot ΑΖ$ ἢ δύο τρίγωνα ΒΔΕ ἀπὸ τοῦ τριγώνου ΑΔΓ, λαμβάνομεν τὸ τρίγωνον ΑΒΓ, ὡς ἐδείξαμεν κατὰ τὰς ἰδιότητας τῆς τεθλασμένης γραμμῆς. (Σημείωσις. Ἐνταῦθα ὁ Shanni γράφει ἀνακριβείας, διότι τὰς ἰδιότητας αὐτὰς δὲν τὰς ἀπέδειξεν αὐτός, ἀλλὰ ὁ Ἀρχιμήδης εἰς τὴν ὑπ' ἀριθ. 14 πρότασιν τῆς πραγματείας του Περὶ τῶν ἐφαπτομένων κύκλων. Ἡ ἀνωτέρω δὲ φράσις « Ἀλλὰ $ΔΖ : ΑΖ = \ldots$ ὡς ἐπίσης εἶναι $\ldots = ΔΕ \cdot ΕΒ : ΕΒ^2$ » περιέχει τεχνάσματα Ἀρχιμήδεια, ὡς γνωρίζομεν ἐκ τῶν εἰς τὴν ἑλληνικὴν διασωθέντων ἔργων τοῦ Ἀρχιμήδους καὶ ὄχι τεχνάσματα Σιαννίνεια, περὶ τῶν ὁποίων

---

[1]) Τὸ ἀραβικὸν κείμενον ἔχει $ΑΕ^2 + ΔΕ^2$, τὸ ὁποῖον εἶναι μὲν ὀρθόν, δὲν ὑπεισέρχεται ὅμως ἐνταῦθα.

[2]) Ἐδῶ ἐλλείπει σαφεστέρα αἰτιολόγησις τῆς ἐξισώσεως ταύτης, ἡ ὁποία (ἐξίσωσις) ἐπαναλαμβάνεται· ἡ αἰτιολόγησις θὰ ἦτο περίπου ἡ ἑξῆς: Εἶναι $ΑΕ^2 = ΑΗ^2 + ΕΗ^2 + 2ΑΗ \cdot ΕΗ$. Ἐὰν προστεθῇ εἰς ἀμφότερα τὰ μέλη τὸ $ΔΕ^2$ καὶ ληφθῇ ὑπ' ὄψει, ὅτι $ΑΕ^2 + ΔΕ^2 = ΑΔ^2 = ΑΖ^2 + ΔΖ^2 = ΑΗ^2 + ΔΖ^2$, λαμβάνεται $ΔΖ^2 = ΔΕ^2 + ΕΗ^2 + 2ΑΗ \cdot ΕΗ$.

οὐδὲν γνωρίζομεν. Καὶ ἐκ τῶν παρατηρήσεων τούτων ἐνισχύεται ἡ γνώμη ἡμῶν ὅτι ἡ προκειμένη ἀπόδειξις εἶναι τοῦ 'Αρχιμήδους, καὶ ὄχι μόνον ἡ ἐκφώνησις, μὲ μικράς τινας ἁπλοποιήσεις τῶν 'Αράβων).

'Εὰν κατόπιν ἀφαιρέσωμεν τὸ $ΕΒ^2$ ἢ τὸ $ΚΖ^2$ (ἀφοῦ λάβωμεν $ΚΖ = ΕΒ$) ἀπὸ τοῦ $ΑΖ^2$, λαμβάνομεν $ΓΚ \cdot ΑΚ$ [1]). Εἶναι ὅμως τὸ τρίγωνον ΑΒΓ μέσον ἀνάλογον τοῦ ΕΗ (ΑΕ + ΑΖ) καὶ τοῦ $ΓΚ \cdot ΑΚ$ [2]). Τὸ ΕΗ ὅμως εἶναι ἡ διαφορὰ ἀπὸ τοῦ ΑΕ + ΑΖ, δηλ. τῆς πλευρᾶς ΑΓ ἀπὸ τῆς ἡμισείας περιμέτρου τοῦ τριγώνου ΑΒΓ, ἐπειδὴ ἐλάβομεν $ΑΗ = ΑΖ = ΓΖ$, καὶ ἐπειδὴ ἡ ΔΕ διχοτομεῖ εἰς τὸ σημεῖον Ε τὸ ἄθροισμα τῶν πλευρῶν ΑΒ καὶ ΒΓ. 'Ακόμη εἶναι τὸ ΑΚ ἡ διαφορὰ τῆς πλευρᾶς ΑΒ ἀπὸ τοῦ ΑΕ + ΑΖ, ἐπειδὴ ἐλάβομεν $ΚΖ = ΕΒ$ [3]). 'Ακόμη εἶναι τὸ ΓΚ ἴσον πρὸς τὴν διαφορὰν τῆς πλευρᾶς ΒΓ ἀπὸ τοῦ ΑΕ + ΑΖ [4]), δηλ. ΕΗ, ΑΚ, ΓΚ εἶναι αἱ διαφοραὶ ἑκάστης τῶν τριῶν πλευρῶν τοῦ τριγώνου ΑΒΓ ἀπὸ τῆς ἡμισείας περιμέτρου τοῦ τριγώνου. 'Εὰν λοιπὸν πολλαπλασιάσωμεν τὴν ἐπιφάνειαν $ΑΚ \cdot ΓΚ$ ἐπὶ τὴν ἐπιφάνειαν ΕΗ (ΑΕ + ΑΖ) ἔχομεν τὸ γινόμενον τῆς πρώτης διαφορᾶς ἐπὶ τὴν δευτέραν, καὶ τοῦτο ἐπὶ τὴν τρίτην διαφορὰν καὶ τὸ προκῦπτον γινόμενον ἐπὶ τὸ ΑΕ + ΑΖ, δηλ. ἐπὶ τὸ ἥμισυ τοῦ ἀθροίσματος τῶν τριῶν πλευρῶν καὶ τὸ ἐξαγόμενον ἰσοῦται μὲ τὸ ἐμβαδὸν τοῦ τριγώνου ΑΒΓ πολλαπλασιασθὲν ἐπὶ τὸν ἑαυτόν του· ὅπερ ἔδει δεῖξαι.

---

1) Λεπτομερέστερον : $ΑΚ^2 + 2ΑΚ \cdot ΖΚ = ΑΚ\,(ΑΚ + 2ΖΚ) = ΑΚ \cdot ΓΚ$.

2) Τὸ ἀραβικὸν κείμενον ἔχει $ΓΚ \cdot ΚΒ$.

3) Εἶναι δηλ. $ΑΕ + ΑΖ - ΑΒ = 2ΑΗ + ΕΗ - ΑΒ = ΑΗ - ΒΕ = ΑΖ - ΚΖ = ΑΚ$.

4) 'Η πρότασις ἐλλείπει ἀπὸ τὸ χειρόγραφον, ὅπου ἐπαναλαμβάνεται ἡ προηγουμένη πρότασις· ἡ αἰτιολογία τοῦ ἰσχυρισμοῦ εἶναι ἡ ἀκόλουθος: Εἶναι $ΑΕ + ΑΖ - ΒΓ = ΒΓ + ΒΕ + ΑΖ - ΒΓ = ΒΕ + ΑΖ = ΖΚ + ΓΖ = ΓΚ$.

Ἐὰν τὸ τρίγωνον εἶναι ἰσοσκελές, ὅπως π.χ. τὸ τρίγωνον ΑΔΓ, τότε ἔχομεν τὴν ἀναλογίαν $ΔΖ^2 : ΔΖ \cdot ΑΖ = ΔΖ \cdot ΑΖ : ΑΖ^2$. Ἀπεδείξαμεν ὅμως ἤδη, ὅτι $ΔΖ^2 = ΔΤ^2 + 2ΔΤ \cdot ΑΤ = ΔΤ\,(ΑΔ + ΑΖ)$ [1]. Εἶναι δὲ $ΔΖ \cdot ΑΖ =$ τὸ ἐμβαδὸν τοῦ τριγώνου ΑΔΓ, καὶ $ΑΖ^2 =$ ἐπιφάνεια $ΑΖ \cdot ΖΓ$. Ἐὰν σχηματίσωμεν τὸ γινόμενον $ΑΖ \cdot ΖΓ = ΑΤ \cdot ΑΖ$ [2], λαμβάνομεν τὸ γινόμενον τῆς μιᾶς διαφορᾶς ἐπὶ τὴν ἄλλην, κατόπιν τὸ γινόμενον τοῦτο ἐπὶ ΔΤ, δηλ. ἐπὶ τὴν τρίτην διαφοράν, καὶ τὸ νέον αὐτὸ γινόμενον ἐπὶ $(ΑΔ + ΑΖ)$, δηλ. ἐπὶ τὸ ἡμιάθροισμα τῶν πλευρῶν, ὁπότε ἔχομεν τὸ τετράγωνον τῆς ἐπιφανείας $ΔΖ \cdot ΑΖ$, δηλ. τοῦ τριγώνου ΑΔΓ · ὅπερ ἔδει δεῖξαι.

---

1) Τὸ χειρόγραφον ἔχει $ΔΚ^2$.

2) Τὸ χειρόγραφον ἔχει $ΑΤ \cdot ΚΖ$.

ΕΥΡΕΣΙΣ ΥΨΟΥΣ ΚΑΙ ΕΜΒΑΔΟΥ ΤΡΙΓΩΝΟΥ
(ΑΝΑΚΑΤΑΣΚΕΥΗ ΤΟΥ ΑΡΧΑΙΟΥ ΚΕΙΜΕΝΟΥ)

Ἀνακατασκευὴ τοῦ ἀρχαίου κειμένου εἰς τὴν σικελικὴν δωρικὴν διάλεκτον τῆς ἀπολεσθείσης πραγματείας τοῦ Ἀρχιμήδους περὶ τῆς εὑρέσεως τοῦ ὕψους καὶ τοῦ ἐμβαδοῦ τριγώνου ἐκ τῶν πλευρῶν αὐτοῦ (Ἐπὶ τῇ βάσει τῆς προηγουμένης δευτέρας προτάσεως).

1. 6. Εὕρεσις τοῦ ὕψους τριγώνου ἐκ τῶν πλευρῶν αὐτοῦ (Βιβλίου Biruni ἀριθμ. 6).

Εἴ κα ἁ ὑπεροχὰ ᾇ ὑπερέχει τὸ ἀπὸ μιᾶς πλευρᾶς τριγώνου τετράγωνον τοῦ ἀπὸ τᾶς ἄλλας πλευρᾶς τετραγώνου ὑπὸ τᾶς τοῦ τριγώνου βάσιος μερισθῇ, ποτιτεθῇ δὲ τῷ λαφθέντι ἁ ἄλλα πλευρὰ τοῦ τριγώνου, τὸ ἅμισυ τοῦ οὕτω λαφθέντος ἴσον ἐστὶ τῷ μείζονι τμάματι τᾶς βάσιος διαιρεθείσας ὑπὸ τοῦ τοῦ τριγώνου ὕψους, τὸ ἅμισυ δὲ τᾶς ὑπεροχᾶς ᾇ ὑπερέχει ἁ βάσις τᾶς ὑπεροχᾶς τῶν ἀπὸ τῶν εἰρημένων πλευρῶν τετραγώνων ἴσον ἐστὶ τῷ ἐλάσσονι τμάματι τᾶς βάσιος.

Ἔστω τρίγωνον τὸ ΑΔΒ καὶ ὕψος αὐτοῦ τὸ ΔΕ, τοῦ δὲ περιγεγραμμένου περὶ τὸ τρίγωνον κύκλου ἔστω περιφέρεια ἁ ΔΓ περιφερείᾳ τᾷ ΑΔ ἴσα καὶ ἐναρμόσθω εἰς τὸν κύκλον εὐθεῖα ἁ ΒΓ, ἀναγεγράφθων δὲ ἀπὸ βάσιος τᾶς ΑΒ τετράγωνα τὰ ΑΖ, ΤΕ καὶ γεγονέτω ἁ ΒΕ τᾷ ΕΜ ἴσα καὶ ἄχθων παρὰ μὲν τὰν ΕΖ ἁ ΜΟ, παρὰ δὲ τὰν ΑΒ ἁ ΤΚΛ καὶ συμπεπληρώσθω τὸ ΑΘ σχᾶμα· φαμὶ δὴ τὰ προειρημένα.

Ἐπεὶ γὰρ τὸ ἀπὸ τᾶς ΒΔ τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΔΕ, ΒΕ τετραγώνοις καὶ τὸ ἀπὸ τᾶς ΑΔ ἴσον τοῖς ἀπὸ τῶν ΑΕ, ΔΕ τετραγώνοις, ἐσσεῖται δὴ ἁ ὑπεροχὰ ᾇ ὑπερέχει τὸ ἀπὸ τᾶς ΑΔ τετράγωνον τοῦ ἀπὸ τᾶς ΒΔ τετραγώνου τᾷ ὑπεροχᾷ ᾇ ὑπερέχει τὸ ἀπὸ τᾶς ΑΕ τοῦ ἀπὸ τᾶς ΒΕ τετραγώνου ἴσα· ἔστι δὴ ἁ ὑπεροχὰ αὕτα γνώμονι *τῷ ΡΠΝ ἴσα. Καὶ ἐπεὶ αἱ ΤΚ, ΚΣ, ΣΜ ἴσαι ἀλλάλαις ἐντί, ὁμοίως δὲ αἱ ΤΘ, ΚΖ, ΑΜ ἴσαι ἀλλάλαις ἐντί, χωρία τὰ ΤΖ, ΚΟ, ΜΛ ἐσσοῦνται ἀλλάλοις ἴσα· ἔστιν ἄρα χωρίον τὸ ΤΗ γνώμονι τῷ ΡΠΝ ἴσον. ἀλλὰ αἱ ΤΘ, ΑΜ, ΒΓ ἴσαι ἀλλάλαις ἐντί, ἐπεὶ ἁ ΑΜ τᾷ ΒΓ ἴσα ἐστὶ καὶ ἁ ΜΕ τᾷ ΒΕ· ἔστιν ἄρα χωρίον τὸ ΤΗ τῷ ὑπὸ τᾶν ΑΒ, ΒΓ ἴσον. Μερίζοντες δὴ χωρίον τὸ περιεχόμενον ὑπὸ τᾶν ΑΒ, ΒΓ εὐθείᾳ τᾷ ΑΒ λαψοῦμες τὰν ΒΓ. ποτιτιθεμένας οὖν τᾶς ΒΓ βάσει τοῦ τριγώνου τᾷ ΑΒ λαφθήσεται κεκλασμένα γραμμὰ ἐναρμοσμένα εἰς τὸν κύκλον ἁ ΑΒΓ, ἇς ἁ ΑΕ ἁ ἀμίσεα, τὸ μεῖζον τμᾶμα τᾶς βάσιος ἐστί. ἐσσεῖται οὖν ἁ ὑπεροχὰ ᾇ ὑπερέχει βάσις ἁ ΑΒ τᾶς ΒΓ, τᾷ ΒΜ ἴσα, ἇς ἀμίσεα ἁ ΒΕ ἐστί, τουτέστι τὸ ἔλασσον τμᾶμα τᾶς βάσιος· ἐδείχθη οὖν τὸ προτεθέν.*

Ἔστι δὲ καὶ ἄλλως τὰν ὑπεροχὰν ᾇ ὑπερέχει τὸ ἀπὸ τᾶς ΑΔ τετράγωνον τοῦ ἀπὸ τᾶς ΒΔ τετραγώνου λαβεῖν, ἐπεὶ ἁ εἰρημένα ὑπεροχὰ τῷ ὑπὸ συναμφοτέρου τᾶς ΑΔ, ΒΔ καὶ τᾶς ὑπεροχᾶς ᾇ ὑπερέχει ἁ ΑΒ τᾶς ΒΔ ἴσα ἐστί. ἔστιν ἄρα ἁ ὑπεροχὰ ᾇ ὑπερέχει τὸ ἀπὸ τᾶς ΑΕ τετράγωνον τοῦ ἀπὸ τᾶς ΒΕ τετραγώνου ἴσα τῷ ὑπὸ τᾶν συναμφοτέρου τᾶς ΑΕ, ΒΕ καὶ τᾶς ὑπεροχᾶς ᾇ ὑπερέχει ἁ ΑΕ τᾶς ΒΕ, τουτέστι τῷ ὑπὸ τᾶν ΑΒ καὶ τᾶς ὑπεροχᾶς ᾇ ὑπερέχει ἁ ΑΕ τᾶς ΒΕ, τουτέστι τῷ ὑπὸ τᾶν ΑΒ, ΑΜ, τουτέστι τῷ ὑπὸ τᾶν ΑΒ, ΒΓ.

2. 7. Εὕρεσις τοῦ ἐμβαδοῦ τριγώνου ἐκ τῶν πλευρῶν αὐτοῦ (Βιβλίου Biruni ἀριθμ. 7).

Εἴ κα παντὸς τριγώνου αἱ ὑπεροχαὶ αἷς ἁ ἀμίσεα τᾶς περιμέτρου αὐτοῦ ὑπερέχει ἑκάστας πλευρᾶς ἐπὶ τὰν ἀμί-

σεαν τᾶς περιμέτρου γένωνται τοῦ γεναμένου πλευρὰ τετραγωνικὰ ἐσσεῖται τᾷ ἐπιφανείᾳ τοῦ τριγώνου ἴσα.

Ἔστω γὰρ τρίγωνον τὸ ΑΒΓ περὶ αὐτὸ δὲ περιγεγράφθω κύκλος ὁ ΑΔΒΓ, τετμάσθω δὲ περιφέρεια ἁ ΑΒΓ δίχα κατὰ τὸ Δ σαμεῖον, καὶ ἀπὸ τοῦ Δ ἄχθω ποτ' ὀρθὰς τᾷ ΑΒ ἁ ΔΕ καὶ τᾷ ΑΓ ἁ ΔΖ, ἐπεζεύχθων δὲ αἱ ΑΔ, ΔΓ, ΔΒ καὶ κέντρῳ μὲν τῷ Α διαστήματι δὲ τῷ ΑΖ κύκλος γεγράφθω ὁ ΖΗΤ, ὃς εὐθεῖαν μὲν τὰν ΑΕ κατὰ τὸ Η σαμεῖον τέμνει, εὐθεῖαν δὲ τὰν ΑΔ κατὰ τὸ Τ· φαμὶ δὴ τὰ προειρημένα.

Ἐπεὶ γὰρ τὸ ἀπὸ τᾶς ΑΔ τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΖ, ΔΖ τετραγώνοις, ἔστι δὲ καὶ ἁ ΑΤ τᾷ ΑΖ ἴσα, ἐσσεῖται ἄρα τὸ ἀπὸ τᾶς ΔΤ τετράγωνον μετὰ τοῦ δὶς ὑπὸ τᾶν ΔΤ, ΑΤ τῷ ἀπὸ τᾶς ΔΖ τετραγώνῳ ἴσον, τουτέστι τᾷ ὑπεροχᾷ, ᾇ ὑπερέχει τὸ ἀπὸ τᾶς ΑΔ τετράγωνον τοῦ ἀπὸ τᾶς ΑΤ τετραγώνου ἴσον. Καὶ ἐπεὶ ἁ ΑΤ τᾷ ΑΖ ἴσα ἐστί, ἔστιν ἄρα τὸ ἀπὸ τᾶς ΔΖ τετράγωνον τοῖς ἀπὸ τῶν ΔΕ, ΕΗ τετραγώνοις μετὰ τοῦ δὶς ὑπὸ τᾶν ΑΗ, ΕΗ ἴσον. ἔστι δὲ τρίγωνον τὸ ΔΕΒ ἑκατέρῳ τῶν τριγώνων ΔΓΖ, ΔΑΖ ὁμοῖον, ἐπεὶ γωνίαι αἱ ὑπὸ ΑΓΔ, ΑΒΔ, ΓΑΔ ἴσαι ἀλλάλαις ἐντί. ἔστιν ἄρα, ὡς ἁ ΔΕ ποτὶ τὰν ΕΒ, οὕτως ἁ ΔΖ ποτὶ τὰν ΑΖ. ἀλλ' ὡς ἁ ΔΖ ποτὶ τὰν ΑΖ, οὕτως ἐστὶ τὸ ἀπὸ τᾶς ΔΖ τετράγωνον ποτὶ τὸ ὑπὸ τᾶν ΔΖ, ΑΖ, τουτέστιν, ὡς τὸ ὑπὸ τᾶν ΔΖ, ΑΖ ποτὶ τὸ ἀπὸ τᾶς ΑΖ τετράγωνον. ὁμοίως δή ἐστιν, ὡς τὸ ἀπὸ τᾶς ΔΕ τετράγωνον ποτὶ τὸ ὑπὸ τᾶν ΔΕ, ΕΒ, οὕτως τὸ ὑπὸ τᾶν ΔΕ, ΕΒ, ποτὶ τὸ ἀπὸ τᾶς ΕΒ τετράγωνον. ἔστιν ἄρα, ὡς πρότερον ἐδείχθη, ἁ ὑπεροχὰ ᾇ ὑπερέχει τὸ ἀπὸ τᾶς ΔΖ τετράγωνον τοῦ ἀπὸ τᾶς ΔΕ τετραγώνου τῷ ἀπὸ τᾶς ΕΗ τετραγώνῳ μετὰ τοῦ δὶς ὑπὸ τᾶν ΑΗ, ΕΗ ἴσα, τουτέστι τῷ ὑπὸ τᾶν ΕΗ καὶ συναμφοτέρου τᾶς ΑΕ, ΑΖ.

ὁμοίως δὴ ἁ ὑπεροχὰ ᾇ ὑπερέχει τὸ ὑπὸ τᾶν ΔΖ, ΑΖ τοῦ ὑπὸ τᾶν ΔΕ, ΕΒ, τουτέστιν ἁ ὑπεροχὰ ᾇ ὑπερέχει τρίγωνον τὸ ΑΔΓ τοῦ διπλασίου τριγώνου τοῦ ΒΔΕ ἴσα ἐστὶ τριγώνῳ τῷ ΑΒΓ, ὡς ἐν τῷ περὶ κεκλαομένας γραμμὰς πρότερον ἐδείχθη. καὶ ἐπεὶ αἱ ΚΖ, ΕΒ ἴσαι ἀλλάλαις ἐντί, ἐσσεῖται ἁ ὑπεροχά ᾇ ὑπερέχει τὸ ἀπὸ τᾶς ΑΖ τετράγωνον τοῦ ἀπὸ τᾶς ΕΒ τετραγώνου, τουτέστι τοῦ ἀπὸ τᾶς ΚΖ, τῷ ὑπὸ τᾶν ΓΚ, ΑΚ ἴσα. ἔστι δὴ τρίγωνον τὸ ΑΒΓ μέσον ἀνάλογον τοῦ ὑπὸ τᾶν ΕΗ καὶ συναμφοτέρου τᾶς ΑΕ, ΑΖ καὶ τοῦ ὑπὸ τᾶν ΓΚ, ΑΚ. ἀλλὰ ἁ ΕΗ ἁ ὑπεροχά ἐστιν ᾇ ὑπερέχει συναμφότερος ἁ ΑΕ, ΑΖ, τουτέστιν ἁ ἁμίσεα τᾶς περιμέτρου τοῦ τριγώνου ΑΒΓ, πλευρᾶς τᾶς ΑΓ, ἐπεὶ εὐθεῖαι αἱ ΑΗ, ΑΖ, ΓΖ ἴσαι ἀλλάλαις ἐντὶ καὶ ἁ ΔΕ συναμφότερον τὰν ΑΒ, ΒΓ δίχα τέμνει κατὰ τὸ Ε σαμεῖον. ὁμοίως δὴ ἁ ΑΚ ἁ ὑπεροχά ἐστι, ᾇ συναμφότερος ἁ ΑΕ, ΑΖ πλευρᾶς τᾶς ΑΒ ὑπερέχει, ἐπεὶ ἁ ΚΖ, ΕΒ, ἴσαι ἀλλάλαις ἐντί. ἔτι δὲ ἁ ΓΚ ἁ ὑπεροχά ἐστιν ᾇ συναμφότερος ἁ ΑΕ, ΑΖ πλευρᾶς τᾶς ΒΓ ὑπερέχει. Ἐντὶ οὖν αἱ ΕΗ, ΑΚ, ΓΚ αἱ ὑπεροχαὶ αἷς ἁ ἁμίσεα τᾶς περιμέτρου τοῦ τριγώνου ΑΒΓ ἑκάστας τῶν τριῶν πλευρῶν αὐτοῦ ὑπερέχει. Ἐσσεῖται ἄρα ἴσον τὸ περιεχόμενον ὑπὸ τᾶς ἁμισέας τᾶς περιμέτρου τοῦ τριγώνου καὶ ὑπὸ τᾶν ΕΗ, ΑΚ, ΚΓ τῷ ἀπὸ τᾶς ἐπιφανείας τοῦ τριγώνου ΑΒΓ τετραγώνῳ· ἐδείχθη οὖν τὸ προτεθέν.

Καὶ εἴ κα τρίγωνον τὸ ΑΔΓ ἰσοσκελὲς ᾖ, ἐσσεῖται ὡς τὸ ἀπὸ τᾶς ΔΖ τετράγωνον ποτὶ τὸ ὑπὸ τᾶν ΔΖ, ΑΖ, οὕτως τὸ ὑπὸ τᾶν ΔΖ, ΑΖ ποτὶ τὸ ἀπὸ τᾶς ΑΖ τετράγωνον. ἐδείχθη δὲ τὸ ἀπὸ τᾶς ΔΖ τετράγωνον ἴσον τῷ ἀπὸ τᾶς ΔΤ τετραγώνῳ μετὰ τοῦ δὶς ὑπὸ τᾶν ΔΤ, ΑΤ, τουτέστι τῷ ὑπὸ τᾶν

ΔΤ καὶ συναμφοτέρου τᾶς ΑΔ, ΑΖ. Ἔστι δὲ τὸ ὑπὸ τᾶν ΔΖ, ΑΖ ἐπιφανείᾳ τριγώνου τοῦ ΑΔΓ ἴσον καὶ τὸ ἀπὸ τᾶς ΑΖ τετράγωνον τῷ περιεχομένῳ ὑπὸ τᾶν ΑΖ, ΖΓ ἴσον· ἔστιν ἄρα χωρίον τὸ περιεχόμενον ὑπὸ τᾶν τριᾶν ὑπεροχᾶν, αἷς ὑπερέχει ἁ ἁμισέα τᾶς περιμέτρου τοῦ τριγώνου ΑΔΓ ἑκάστας τῶν τριῶν πλευρῶν αὐτοῦ, καὶ τᾶς ἁμισέας, τᾶς περιμέτρου τοῦ τριγώνου τῷ ἀπὸ τᾶς ἐπιφανείας τοῦ τριγώνου τετραγώνῳ ἴσον· δέδεικται οὖν τὸ προτεθέν.

ΑΡΧΑΙ ΤΗΣ ΓΕΩΜΕΤΡΙΑΣ

Ἀνακατασκευὴ τοῦ ἀρχαίου κειμένου εἰς τὴν σικελικὴν δωρικὴν διάλεκτον τοῦ Ἀρχιμήδους 19 θεωρημάτων ἐπιπεδομετρίας (ὑπὸ τὸν τίτλον Ἀρχαὶ τῆς γεωμετρίας), τὰ ὁποῖα σῴζονται εἰς τὴν ἀραβικήν.

α′

Εἴ κα ἀπὸ τῶν περάτων ἴσων ἐκβολῶν τᾶς διαμέτρου ἁμικυκλίου ἀχθέωντι ἐπιψαύουσαι τοῦ ἁμικυκλίου ἁ ἐπιζευγνύουσα τὰ σαμεῖα ἁφῆς ἐσσεῖται παρὰ τὰν διάμετρον·

Ἔστω ἁμικύκλιον οὗ κέντρον τὸ Τ καὶ ἀπὸ τῶν περάτων τᾶς διαμέτρου Β, Γ ἐκβεβλήσθων εὐθεῖαι ἴσαι αἱ ΒΕ, ΓΔ, καὶ ἀπὸ τῶν Ε, Δ σαμείων ἄχθων ἐπιψαύουσαι τοῦ ἁμικυκλίου αἱ ΕΖ, ΔΗ, διάχθω δὲ ἁ ΖΗ· φαμὶ δὴ ἁ ΖΗ ἐσσεῖται παρὰ τὰν ΕΔ.

Ἐπεζεύχθων γὰρ αἱ ΤΗ, ΤΖ. ἐπεὶ οὖν ἴσα ἐστὶν ἁ ΕΒ τᾷ ΓΔ, κοινὸν ποτικείσθω ἁ ΒΓ. ἔστιν ἄρα ἁ ΕΓ τᾷ ΒΔ ἴσα καὶ τὸ ὑπὸ τᾶν ΕΒ, ΕΓ περιεχόμενον τῷ ὑπὸ τᾶν ΔΓ, ΔΒ ἐστιν ἴσον· τὸ δὲ ὑπὸ τᾶν ΕΒ, ΕΓ περιεχόμενον ἴσον ἐστὶ τῷ ἀπὸ τᾶς ΕΖ τετραγώνῳ καὶ τὸ ὑπὸ τᾶν ΔΓ, ΔΒ τῷ ἀπὸ τᾶς ΔΗ. ἔστιν ἄρα τὰ ἀπὸ τῶν ΕΖ, ΔΗ τετράγωνα ἴσα καὶ ἁ ΕΖ τᾷ ΔΗ ἴσα. τρίγωνον ἄρα τὸ ΤΗΔ τριγώνῳ τῷ ΤΖΕ ἴσον ἐστὶ καὶ γωνίᾳ ἁ ὑπὸ ΗΤΔ τᾷ ὑπὸ ΖΤΕ ἐστιν ἴσα. περιφέρειαι ἄρα αἱ ΗΓ, ΖΒ ἐντι ἴσαι.ἔστιν ἄρα ἁ ΖΗ παρὰ τὰν ΒΓ, τουτέστιν παρὰ τὰν ΕΔ· ὅπερ ἔδει δεῖξαι.

« Τὸ σύγγραμμα τοῦ Ἀρχιμήδους Περὶ τῶν ἀρχῶν τῆς γεωμετρίας, τὸ ὁποῖον μετέφρασεν ἐκ τῆς ἑλληνικῆς ὁ πρίγκηψ τῶν πιστῶν Tâbit Ibn Qurra » (Πρόλογος τοῦ Ἄραβος μεταφραστοῦ).

1

Ἐὰν ἀπὸ τὰ ἄκρα ἴσων προεκτάσεων τῆς διαμέτρου ἡμικυκλίου ἀχθῶσιν ἐφαπτόμεναι τοῦ ἡμικυκλίου, ἡ εὐθεῖα, ἥτις ἑνώνει τὰ σημεῖα ἐπαφῶν εἶναι παράλληλος πρὸς τὴν διάμετρον.

Ἀπόδειξις: Ἔστω Τ τὸ κέντρον τοῦ ἡμικυκλίου. Φέρομεν τὴν ΤΗ καὶ τὴν ΤΖ. Ἐπειδὴ ΕΒ = ΓΔ καὶ ΒΓ κοινόν, ἕπεται ὅτι



ΕΓ = ΒΔ (Εὐκλ. κοιναὶ ἔννοιαι β′). Εἶναι ἄρα ΕΒ × ΕΓ = ΔΓ × ΔΒ. Τὸ δὲ γινόμενον ΕΒ × ΕΓ = ΕΖ² καὶ τὸ γινόμενον ΔΓ × ΔΒ = ΔΗ², (Εὐκλ. γ′, λϛ′). Εἶναι ἄρα ΕΖ² = ΔΗ² (Εὐκλ. κοιν. ἔνν. α′). Καὶ ΕΖ = ΔΗ. Ἑπομένως τὰ δύο τρίγωνα ΤΗΔ καὶ ΤΖΕ εἶναι ἴσα (διότι ΕΖ = ΔΗ, ΤΖ = ΤΗ = ἀκτὶς τοῦ κύκλου καὶ ΤΕ = ΤΔ)· ἐκ τούτου ἕπεται, ὅτι ἡ γωνία ΗΤΔ = γωνίαν ΖΤΕ (Εὐκλ. α′, η′). Εἶναι ἄρα τὰ δύο τόξα ΗΓ καὶ ΖΒ ἴσα, (Εὐκλ. γ′, κϛ′). Εἶναι ἄρα ἡ ΖΗ παράλληλος πρὸς τὴν ΒΓ (Εὐκλ. α′, κζ′) ἤτοι ΖΗ εἶναι παράλληλος πρὸς ΕΔ· ὅπερ ἔδει δεῖξαι.

Ἄλλως τὸ αὐτὸ

Ἐπεὶ γὰρ τὸ ὑπὸ τῶν ΕΒ, ΕΓ περιεχόμενον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΓ, ΔΒ καὶ τὸ μὲν ὑπὸ τῶν ΕΒ, ΕΓ ἴσον ἐστὶ τῷ ἀπὸ τᾶς ΕΖ τετραγώνῳ, τὸ δὲ ὑπὸ τῶν ΔΓ, ΔΒ τῷ ἀπὸ τᾶς ΔΗ τετραγώνῳ, ἔστιν ἄρα τὸ ἀπὸ τᾶς ΕΖ τῷ ἀπὸ τᾶς ΔΗ ἴσον καὶ πλευρὰ ἁ ΕΖ πλευρᾷ τᾷ ΔΗ ἴσα.



Ἐκβεβλήσθων αἱ ΕΖ, ΔΗ καὶ συμπιπτέσθων κατὰ τὸ Ι. ἐπεὶ οὖν ἁ ΙΖ τᾷ ΙΗ ἴσα ἐστὶ καὶ δέδεικται ἁ ΕΖ τᾷ ΔΗ ἴσα, ἔστιν ἄρα λόγος ὁ τᾶς ΕΖ ποτὶ τὰν ΖΙ ὁ αὐτὸς τοῦ, ὃν ἔχει ἁ ΔΗ ποτὶ τὰν ΗΙ. ἔστιν ἄρα ἁ ΖΗ παρὰ τὰν ΒΓ, τουτέστι τὰν ΕΔ.

β′

Εἴ κα ᾖ κύκλος καὶ σαμεῖόν τι ἐκτός, ἀπὸ δὲ τοῦ σαμείου ἀχθέωντι δύο ἐπιψαύουσαι τοῦ κύκλου καὶ ἐκβληθείσας τᾶς ἐπιζευγνυούσας τὰ σαμεῖα ἁφᾶς λαφθῇ σαμεῖόν τι καὶ ἐκ τούτου ἀχθῇ ἐπιψαύουσα τοῦ κύκλου τεμνέουσα τὰς δύο ἐπιψαυούσας, λόγος πάσας τᾶς ἀχθείσας ποτὶ τὸ τμᾶμα αὐτᾶς ἀπὸ τοῦ λαφθέντος σαμείου ἐπὶ τὰν ἐγγύτερον τούτου κειμέναν ἐπιψαύουσαν, ὁ αὐτός ἐστι τοῦ, ὃν ἔχει τὸ ἀπὸ τᾶς ἁφᾶς

Ἄλλως τὸ αὐτὸ

Ἐπειδὴ τὸ γινόμενον ΕΒ × ΕΓ = ΔΓ × ΔΒ καὶ ἐπειδὴ ΕΒ × ΕΓ = ΕΖ² καὶ ΔΓ × ΔΒ = ΔΗ² ἕπεται ὅτι ΕΖ² = ΔΗ², (Εὐκλ. γ, λϛ΄), δηλαδὴ ΕΖ = ΔΗ. Προεκτείνομεν τὰς δύο εὐθείας ΕΖ καὶ ΔΗ, αἱ ὁποῖαι τέμνονται εἴς τι σημεῖον Ι. Ἡ εὐθεῖα ΙΖ = ΙΗ (Εὐκλ. γ΄, λϛ΄). Ἔχει δὲ ἀποδειχθῆ, ὅτι ΕΖ = ΔΗ. Εἶναι ἄρα ΕΖ : ΖΙ= ΔΗ : ΗΙ (Εὐκλ. ϛ΄, β΄). Ἐκ τούτου ἕπεται ὅτι ἡ ΖΗ εἶναι παράλληλος πρὸς τὴν ΒΓ, ἤτοι ἡ ΖΗ παράλληλος πρὸς τὴν ΕΔ.

2

Ἐὰν δοθῇ κύκλος καὶ σημεῖόν τι ἐκτὸς αὐτοῦ, ἀπὸ δὲ τοῦ σημείου ἀχθῶσι δύο ἐφαπτόμεναι τοῦ κύκλου καὶ ἀφοῦ προεκβληθῇ ἡ ἑνοῦσα τὰ σημεῖα ἐπαφῆς καὶ ληφθῇ σημεῖόν τι καὶ ἐξ αὐτοῦ ἀχθῇ



ἐφαπτομένη τοῦ κύκλου τέμνουσα τὰς δύο ἐφαπτομένας, ὁ λόγος ὅλης τῆς ἀχθείσης πρὸς τὸ τμῆμα αὐτῆς ἀπὸ τοῦ ληφθέντος σημείου μέχρι τῆς πλησιεστέρας πρὸς τοῦτο ἐφαπτομένης εἶναι ὁ αὐτὸς πρὸς τὸν λόγον, τὸν ὁποῖον ἔχει τὸ ἀπὸ τῆς ἐπαφῆς τμῆμα μέχρι τῆς *τμᾶμα ἐπὶ τὰν ἀπώτερον τοῦ λαφθέντος σαμείου ἐπιψαύουσαν ποτὶ τὸ τμᾶμα τὸ ἀπὸ τᾶς ἁφᾶς ἐπὶ τὰν ἐγγύτερον τοῦ λαφθέντος σημείου.*

Δεδόσθω γὰρ κύκλος ἔχων κέντρον τὸ Ο καὶ ἀπὸ τοῦ ἐκτὸς σαμείου Δ ἄχθων δύο ἐπιψαύουσαι τοῦ κύκλου αἱ ΔΒ, ΔΓ, διάχθω δὲ ἁ ΒΓ καὶ ἐκβληθείσας τᾶς ΒΓ ἄχθω ἐκ τοῦ σαμείου Ε ἐπιψαύουσα τοῦ κύκλου κατὰ τὸ Α τεμνέουσα τὰς δύο ἐπιψαυούσας ΔΒ, ΔΓ κατὰ τὰ Τ, Ζ. δεικτέον ὅτι ὅλα ἁ ΕΤ ποτὶ τὰν ΕΖ τὸν αὐτὸν λόγον ἔχει, ὃν ἁ ΑΤ ποτὶ τὰν ΑΖ.

Ἀχθείσας γὰρ τᾶς ΖΗ παρὰ τὰν ΤΒ ἐσσεῖται λόγος ὁ τᾶς ΒΔ ποτὶ τὰν ΔΓ ὁ αὐτὸς τοῦ, ὃν ἔχει ἁ ΗΖ ποτὶ τὰν ΖΓ. Ἀλλὰ ἁ ΒΔ τᾷ ΔΓ ἐστὶν ἴση. ἔστιν ἄρα ἁ ΗΖ τᾷ ΖΓ ἴσα καὶ λόγος ὁ τᾶς ΤΕ ποτὶ τὰν ΕΖ ὁ αὐτὸς ἐσσεῖται τοῦ, ὃν ἔχει ἁ ΤΒ ποτὶ τὰν ΖΗ, τουτέστιν ὁ αὐτὸς τοῦ, ὃν ἔχει ἁ ΤΒ ποτὶ τὰν ΖΓ, ἐπεὶ πλευρὰ ἁ ΖΗ πλευρᾷ τᾷ ΖΓ ἴσα ἐστίν. ἐπεὶ οὖν ἁ ΤΒ τᾷ ΤΑ ἴσα ἐστὶ καὶ ἁ ΖΑ τᾷ ΖΓ, ἔστιν ἄρα λόγος ὁ τᾶς ΤΕ ποτὶ τὰν ΕΖ, ὁ αὐτὸς τοῦ, ὃν ἔχει ἁ ΤΑ ποτὶ τὰν ΑΖ.

γʹ

Εἴ κα ἀπὸ σαμείου τινὸς ἀχθέωντι δύο ἐπιψαύουσαι κύκλου καὶ ἀπὸ τοῦ σαμείου τούτου διαχθῇ εὐθεῖα τεμνέουσα τὸν κύκλον ἀπὸ δὲ τοῦ ἑνὸς σαμείου ἁφᾶς ἀχθῇ εὐθεῖα παρὰ τὰν τεμνέουσαν καὶ ἀπὸ πέρατος τᾶς εὐθείας ταύτας ἐναρμοσθῇ εὐθεῖα ἐν τῷ κύκλῳ ἐπὶ τὸ ἄλλο πέρας τᾶς ἁφᾶς, αὕτα δίχα τέμνει τὸ ἐν τῷ κύκλῳ τμᾶμα τᾶς τεμνεούσας.

ἀπωτέρας ἀπὸ τοῦ ληφθέντος σημείου ἐφαπτομένης πρὸς τὸ τμῆμα τὸ μεταξὺ τοῦ σημείου ἐπαφῆς καὶ τῆς πλησιέστερον πρὸς τὸ ληφθὲν σημεῖον ἐφαπτομένης.

Ἔστω κύκλος μὲ κέντρον τὸ Ο. Ἐκ τυχόντος σημείου Δ κειμένου ἐκτὸς τοῦ κύκλου φέρομεν δύο ἐφαπτομένας ΔΒ καὶ ΔΓ. Φέρομεν τὴν ΒΓ καὶ προκτείνομεν αὐτὴν μέχρι τοῦ σημείου Ε. Ἐκ τοῦ σημείου Ε φέρομεν τὴν ἐφαπτομένην εἰς τὸν κύκλον τὴν ΕΑ ἡ ὁποία τέμνει τὴν ΔΒ εἰς τὸ σημεῖον Τ καὶ τὴν ΔΓ εἰς τὸ σημεῖον Ζ. Πρέπει νὰ ἀποδείξωμεν ὅτι $\frac{\text{ΕΤ}}{\text{ΕΖ}} = \frac{\text{ΑΤ}}{\text{ΑΖ}}$.

Ἐκ τοῦ σημείου Ζ φέρομεν παράλληλον πρὸς τὴν ΤΒ, ὁπότε ἔχομεν $\frac{\text{ΒΔ}}{\text{ΔΓ}} = \frac{\text{ΗΖ}}{\text{ΖΓ}}$ (Εὐκλ. α′, κθ′. ϛ′, δ′). Ἀλλὰ ΒΔ = ΔΓ (Εὐκλ. γ′, λζ′). Ἑπομένως ΗΖ = ΖΓ. Ἐκ τούτου ἔχομεν $\frac{\text{ΤΕ}}{\text{ΕΖ}} = \frac{\text{ΤΒ}}{\text{ΖΗ}}$ (1), καὶ ἐπειδὴ ΖΗ = ΖΓ ὁ λόγος γίνεται $\frac{\text{ΤΕ}}{\text{ΕΖ}} = \frac{\text{ΤΒ}}{\text{ΖΓ}}$ (1′) (Εὐκλ. α′, κθ′. ϛ′, δ′).

Ἀλλὰ ΤΒ = ΤΑ, ὡς ἐφαπτόμεναι τοῦ κύκλου ἐκ τοῦ αὐτοῦ σημείου, καὶ ΖΑ = ΖΓ διὰ τὸν αὐτὸν λόγον. Ὁ λόγος ἄρα (1′) γίνεται $\frac{\text{ΤΕ}}{\text{ΕΖ}} = \frac{\text{ΤΑ}}{\text{ΑΖ}}$.

3

Ἐὰν ἐκ σημείου τινὸς ἀχθῶσι δύο ἐφαπτόμεναι κύκλου καὶ ἀπὸ τοῦ σημείου τούτου ἀχθῇ εὐθεῖα τέμνουσα τὸν κύκλον, ἀπὸ τοῦ ἑνὸς δὲ σημείου ἐπαφῆς ἀχθῇ παράλληλος πρὸς τὴν τέμνουσαν καὶ ἀπὸ τοῦ πέρατος τῆς εὐθείας ταύτης ἐναρμοσθῇ εὐθεῖα μέχρι τοῦ ἄλλου σημείου ἐπαφῆς, ἡ ἐναρμοσθεῖσα εὐθεῖα τέμνει τὸ εἰς τὸν κύκλον τμῆμα τῆς τεμνούσης εἰς δύο ἴσα μέρη.

Ἔστω σαμεῖον Ε καθ' ὃ τεμνέοντι δύο ἐπιψαύουσαι τοῦ κύκλου Τ αἱ ΕΓ, ΕΔ καὶ ἀπὸ τοῦ Ε διάχθω εὐθεῖα τεμνέουσα τὸν κύκλον κατὰ τὰ Η, Β σαμεῖα, ἀπὸ δὲ τοῦ σαμείου ἁφᾶς Δ ἄχθω εὐθεῖα παρὰ τὰν ΕΒ καὶ ἐπεζεύχθω ἁ ΑΓ τεμνέουσα τὰν ἐν τῷ κύκλῳ εὐθεῖαν ΒΗ κατὰ τὸ Ζ. φαμὶ δὴ τὰν ΖΒ τᾷ ΖΗ ἴσαν εἶμεν.



Ἐπεζεύχθων γὰρ αἱ ΤΖ, ΤΕ, ΤΓ, ΤΔ. Ἐπεὶ γὰρ αἱ ΤΓ, ΤΔ ἀπὸ τοῦ κέντρου ἐντὶ ἴσαι καὶ ἁ ΕΓ τᾷ ΕΔ ἴσα, κοινὰ δὲ ἁ ΤΕ, ἔστιν ἄρα τρίγωνον τὸ ΕΓΤ τῷ ΕΔΤ τριγώνῳ ἴσον. ἔστιν ἄρα γωνία ἁ ΓΤΕ γωνίᾳ τᾷ ΕΤΔ ἴσα καὶ γωνία ἁ ΔΤΓ γωνίας τᾶς ΓΤΕ διπλασίων καὶ γωνία ἁ ΔΤΓ γωνίας τᾶς ΓΑΔ διπλασίων. ἔστιν ἄρα γωνία ἁ ΓΑΔ γωνίᾳ τᾷ ΓΤΕ ἴσα. ἀλλὰ γωνία ἁ ΔΑΓ γωνίᾳ τᾷ ΕΖΓ ἐστὶν ἴσα. ἔστιν ἄρα γωνία ἁ ΕΤΓ γωνίᾳ τᾷ ΕΖΓ ἴσα. Καὶ ἐπεὶ ἐν τετραπλεύρῳ αἱ ἀπεναντίον γωνίαι δυσὶν ὀρθαῖς ἴσαι ἐντί, ἔστιν ἄρα γωνία ἁ ὑπὸ ΕΓΤ γωνίᾳ τᾷ ὑπὸ ΕΖΓ ἴσα. ἐπεὶ οὖν ἁ ὑπὸ ΕΓΤ μιᾷ ὀρθᾷ ἴσα ἐστί, ἔστιν ἄρα γωνία ἁ ὑπὸ ΕΖΓ μιᾷ ὀρθᾷ ἴσα. ἔστιν ἄρα ἁ ΤΖ ποτ' ὀρθὰς τᾷ ΖΗ. ἐπεὶ οὖν εὐθεῖα ἀπὸ τοῦ κέντρου ἁ ΤΖ εὐθεῖαν μὴ διὰ τοῦ κέντρου τὰν ΒΗ πρὸς ὀρθὰς τέμνει δίχα αὐτὰν τέμνει. ἔστιν ἄρα ἁ ΖΒ τᾷ ΖΗ ἴσα.

Ἔστω ἐκ τοῦ σημείου Ε τομῆς δύο ἐφαπτομένων τοῦ κύκλου Τ τῶν ΕΓ καὶ ΕΔ εὐθεῖα τέμνουσα τὸν κύκλον εἰς τὰ σημεῖα Η, Β καὶ ἐκ τοῦ ἑνὸς σημείου ἐπαφῆς Δ ἂς ἀχθῇ εἰς τὸν κύκλον εὐθεῖα ἡ ΔΑ παράλληλος πρὸς τὴν τέμνουσαν ΕΒ καὶ ἐκ τοῦ πέρατος Α τῆς χορδῆς ταύτης ἂς ἀχθῇ εὐθεῖα μέχρι τοῦ ἄλλου σημείου ἐπαφῆς Γ, τέμνουσα τὸ ἐντὸς τοῦ κύκλου τμῆμα ΒΗ τῆς τεμνούσης εἰς τὸ σημεῖον Ζ. Λέγω, ὅτι ΖΒ = ΖΗ.

Φέρομεν τὰς εὐθείας ΤΖ, ΤΕ, ΤΓ καὶ ΤΔ. Ἐπειδὴ ΤΓ = ΤΔ καὶ ΤΕ κοινὴ καὶ ΕΓ = ΕΔ, ἕπεται ὅτι τὰ δύο τρίγωνα ΕΓΤ καὶ ΕΔΤ εἶναι ἴσα, καὶ ἑπομένως ἡ γωνία ΓΤΕ εἶναι ἴση πρὸς τὴν γωνίαν ΕΤΔ (Εὐκλ. α′, η′) καὶ ἡ γωνία ΔΤΓ = 2ΓΤΕ, καὶ ἡ γωνία ΔΤΓ = 2 ΓΑΔ (Εὐκλ. γ′, κ′) καὶ ἑπομένως ἡ γωνία ΓΑΔ = ΓΤΕ. Εἶναι ὅμως



γωνία ΔΑΓ = ΕΖΓ (Εὐκλ. α′, κθ′) καὶ συνεπῶς ἡ γωνία ΕΤΓ = ΕΖΓ (Εὐκλ. κοιν. ἐνν. α′). Ἑπομένως τὸ τετράπλευρον ΕΓΖΤ δύναται νὰ ἐγγραφῇ εἰς κύκλον. Εἶναι ἄρα γωνία ΕΓΤ = ΕΖΤ, καὶ ἐπειδὴ ἡ γωνία ΕΓΤ εἶναι ὀρθή, ἕπεται ὅτι ἡ γωνία ΕΖΤ εἶναι ὀρθή. Ἑπομένως ἡ ΤΖ εἶναι κάθετος ἐπὶ τὴν ΖΗ. Καὶ ἐπειδὴ ἡ κάθετος ΤΖ ἔχει ἀχθῇ ἐκ τοῦ κέντρου Τ τοῦ κύκλου ἐπὶ τὴν χορδὴν ΒΗ, τέμνει αὐτὴν εἰς δύο ἴσα τμήματα, ἤτοι ΖΒ = ΖΗ, (Εὐκλ. γ′, γ′).

δ′

Εἴ κα ἁ πλευρὰ ἰσοπλεύρου τριγώνου ἐκβληθῇ λαφθέωντι δὲ ἐπὶ τὰς πλευρᾶς καὶ τᾶς ἐκβολᾶς δύο σαμεῖα οὕτως, ὥστε τὸ ὑπὸ τῶν ἀποστάσεων τῶν σαμείων τούτων ἀπὸ μιᾶς κορυφᾶς τοῦ τριγώνου τῷ ἀπὸ τᾶς ἁμισείας τᾶς πλευρᾶς τετραγώνῳ ἴσον εἶμεν, ἀχθῇ δὲ εὐθεῖα ἀπὸ τοῦ σαμείου τοῦ ἐγγύτερον τᾷ κορυφᾷ ταύτᾳ κειμένου παρὰ τὰν τᾷ καρυφᾷ ποτικειμέναν πλευράν, ἐπιζευχθείσας δὲ ἀπὸ τοῦ σαμείου τούτου εὐθείας ἐπὶ μέσαν τὰν πλευρὰν ταύταν καὶ διὰ τοῦ σαμείου, καθ' ὃ ἁ ἀχθεῖσα παράλλαλος τέμνει τὰν τρίταν πλευρὰν διαχθῇ εὐθεῖα συμβαλλέουσα τῷ ἐπὶ τᾶς ἐκβληθείσας λαφθὲν σαμεῖον, γωνία ἁ ὑπὸ τᾶς διαχθείσας καὶ τοῦ ἐκτὸς μέρους τᾶς πλευρᾶς τοῦ τριγώνου, γωνίας τᾶς ὑπὸ τᾶς πρώτας πλευρᾶς τοῦ τριγώνου καὶ τᾶς ἀχθείσας ἀπὸ τοῦ ἐγγύτερον τᾷ κορυφᾷ λαφθέντος σαμείου ἐπὶ μέσαν τὰν πλευρὰν διπλασίων ἐστίν.

Ἔστω τρίγωνον ἰσόπλευρον τὸ ΑΒΓ καὶ ἀπὸ τοῦ Α ἄχθω ποτ' ὀρθὰς τᾷ βάσει ΒΓ ἁ ΑΔ, ἐκβληθείσας δὲ τᾶς ΒΑ λελάφθω σαμεῖόν τι τὸ Ε οὕτως, ὥστε τὸ ἀπὸ τῶν ἀποστάσεων τῶν σαμείων τούτων ἀπὸ μιᾶς κορυφᾶς τοῦ τριγώνου ἴσον εἶμεν τῷ ἀπὸ τᾶς ἁμισείας τᾶς πλευρᾶς τετραγώνῳ. ἐπεζεύχθω γὰρ ἁ ΔΖ καὶ ἀπὸ τοῦ Ζ ἁ ΖΗ ἄχθω παρὰ τὰν ΒΓ καὶ διάχθω ἁ ΕΗ. φαμὶ δή, ὅτι γωνία ἁ ὑπὸ ΕΗΓ γωνίας τᾶς ὑπὸ ΑΖΔ διπλασίων ἐστίν.

Ἐπεζεύχθων οὖν αἱ ΔΗ, ΔΕ. καὶ ἐπεὶ τὸ ὑπὸ τᾶν ΕΒ, ΒΖ τῷ ἀπὸ τᾶς ΔΒ τετραγώνῳ ἴσον ἐστίν, γωνία ἁ ὑπὸ ΖΔΒ γωνίᾳ τᾷ ὑπὸ ΖΕΔ ἐστὶν ἴσα. ἀλλὰ γωνία ἁ ὑπὸ ΖΔΒ γωνίᾳ τᾷ ὑπὸ ΗΖΔ ἐστὶν ἴσα· γωνία ἄρα ἁ ὑπὸ ΗΖΔ

4

Ἐὰν ἡ πλευρὰ ἰσοπλεύρου τριγώνου προεκταθῇ, ληφθῶσι δὲ ἐπὶ τῆς πλευρᾶς καὶ τῆς προεκτάσεως δύο σημεῖα τοιαῦτα, ὥστε τὸ γινόμενον τῶν ἀποστάσεων αὐτῶν ἐκ μιᾶς κορυφῆς τοῦ τριγώνου νὰ εἶναι ἴσον μὲ τὸ τετράγωνον τοῦ ἡμίσεος τῆς πλευρᾶς, ἀχθῇ δὲ ἐκ τοῦ σημείου τοῦ πλησιεστέρου πρὸς τὴν κορυφὴν ταύτην παράλληλος πρὸς τὴν εἰς αὐτὴν προσκειμένην πλευρὰν τοῦ τριγώνου καὶ ἑνωθῇ τὸ σημεῖον τοῦτο μὲ τὸν πόδα τοῦ ὕψους τοῦ τριγώνου, ἑνωθῇ δὲ τὸ σημεῖον τομῆς τῆς παραλλήλου ταύτης μετὰ τῆς τρίτης πλευρᾶς τοῦ τριγώνου μὲ τὸ ἐπὶ τῆς προεκτάσεως τῆς πλευρᾶς ληφθὲν σημεῖον, ἡ γωνία ἡ σχηματιζομένη ὑπὸ τῆς εὐθείας ταύτης μετὰ τοῦ ἐξωτερικοῦ μέρους τῆς πλευρᾶς τοῦ τριγώνου εἶναι διπλασία τῆς γωνίας τῆς σχηματιζομένης ὑπὸ τῆς εὐθείας τῆς ἑνούσης τὸ πλησιέστερον πρὸς τὴν κορυφὴν ληφθὲν σημεῖον καὶ τὸν πόδα τοῦ ληφθέντος ὕψους τοῦ τριγώνου καὶ τῆς πρώτης πλευρᾶς τοῦ τριγώνου.

Ἔστω τὸ ἰσόπλευρον τρίγωνον ΑΒΓ. Φέρομεν τὴν ΑΔ κάθετον ἐπὶ τὴν πλευρὰν ΒΓ καὶ εἰς τὴν προέκτασιν τῆς ΒΑ λαμβάνομεν ἓν σημεῖον Ε οὕτως, ὥστε $ΒΔ^2 = ΒΕ \times ΒΖ$ (Εὐκλ. γ′, λϛ′). Φέρομεν τὴν ΔΖ καὶ ἐκ τοῦ σημείου Ζ φέρομεν τὴν ΖΗ παράλληλον πρὸς τὴν ΒΓ καὶ φέρομεν τὴν ΕΗ. Νὰ ἀποδειχθῇ ὅτι ἡ γωνία ΕΗΓ = 2ΑΖΔ.

Ἀ π ό δ ε ι ξ ι ς : Φέρομεν τὰς εὐθείας ΔΗ καὶ ΔΕ. Ἐπειδὴ $ΕΒ \times ΒΖ = ΔΒ^2$, ἡ γωνία ΖΔΒ εἶναι ἴση μὲ τὴν γωνίαν ΖΕΔ [1]), (Εὐκλ. γ′, λζ′.γ,λβ′). Ἀλλὰ ἡ γωνία ΖΔΒ = γωνίαν ΗΖΔ, (Εὐκλ. α′, κθ′)·

[1]) Διότι ἐκ τῆς σχέσεως $ΕΒ \times ΒΖ = ΔΒ^2$ ἕπεται, ὅτι ἡ ΒΔ ἐφάπτεται τῆς περιφερείας ἡ ὁποία διέρχεται διὰ τῶν σημείων Ε, Ζ, Δ. Ἡ γωνία ἄρα ΕΖΔ εἶναι ἐγγεγραμμένη, καὶ ἡ γωνία ΖΔΒ σχηματίζεται ὑπὸ χορδῆς καὶ ἐφαπτομένης καὶ συνεπῶς εἶναι ἴσαι (Εὐκλ. γ′, λβ′).

γωνίᾳ τᾷ ὑπὸ ΖΕΔ ἐστὶν ἴσα. ἀλλὰ γωνία ἁ ὑπὸ ΗΖΔ τᾷ ὑπὸ ΖΗΔ ἐστὶν ἴσα. ἔστιν ἄρα γωνία ἁ ΖΕΔ τᾷ ὑπὸ ΖΗΔ ἴσα καὶ τετράπλευρον τὸ ΕΖΔΗ ἐν κύκλῳ ἐστίν. ἐκβεβλήσθω δὴ ἁ ΕΗ ἐπὶ τὸ Τ. ἐπεὶ οὖν γωνία ἁ ΔΗΤ γωνίᾳ τᾷ ὑπὸ



ΕΖΔ ἐστὶν ἴσα καὶ γωνία ἁ ὑπὸ ΕΖΔ τᾷ ΑΗΔ ἴσα, ἔστιν ἄρα γωνία ἁ ὑπὸ ΑΗΤ γωνίας τᾶς ὑπὸ ΑΗΔ ἐστὶ διπλασίων. ἀλλὰ γωνία ἁ ὑπὸ ΑΗΤ τᾷ ὑπὸ ΕΗΓ ἐστὶν ἴσα καὶ γωνία ἁ ὑπὸ ΑΗΔ τᾷ ὑπὸ ΑΖΔ ἴσα. γωνία ἄρα ἁ ὑπὸ ΕΗΓ γωνίας τᾶς ὑπὸ ΑΖΔ ἐστὶ διπλασίων.

ε′

Εἴ κα ἀπὸ τῶν περάτων τᾶς διαμέτρου ἁμικυκλίου ἀχθέωντι δύο εὐθεῖαι τεμνόμεναι ἐκτός, τὰ δὲ σαμεῖα τομᾶς τοῦ ἁμικυκλίου ἐπιζευχθέωντι ἐναλλὰξ τοῖς περάτεσσι τούτοις, ἐσσεῖται τὸ ὑπὸ μιᾶς τῶν ἐν τῷ κύκλῳ εὐθειῶν καὶ τοῦ ἀπώτερον τᾶς διαμέτρου κειμένου τμάματος αὐτᾶς τῷ ὑπὸ τῶν τμαμάτων τᾶς εὐθείας τᾶς διὰ τοῦ πέρατος τᾶς ἐν τῷ κύκλῳ εὐθείας ἀχθείσας ἴσον.

εἶναι ἄρα ἡ γωνία ΗΖΔ = γωνίαν ΖΕΔ. Ἡ γωνία ὅμως ΗΖΔ = ΖΗΔ, (Εὐκλ. α′,ε′), διότι τὸ τρίγωνον ΗΖΔ εἶναι ἰσοσκελές. Ἐπομένως ἡ γωνία ΖΕΔ = γωνίαν ΖΗΔ καὶ τὸ τετράπλευρον ΕΖΔΗ εἶναι ἐγγεγραμμένον εἰς κύκλον. Προεκτείνομεν τὴν ΕΗ μέχρι τοῦ σημείου Τ. Ἡ γωνία ΔΗΤ = γωνίαν ΕΖΔ, διότι ἔχουσι τὴν αὐτὴν παραπληρωματικὴν [1]) γωνίαν ΕΗΔ καὶ ἡ γωνία ΕΖΔ = ΑΗΔ. Ἡ γωνία ἄρα ΑΗΤ = 2ΑΗΔ. Ἀλλὰ ἡ γωνία ΑΗΤ = ΕΗΓ, (Εὐκλ. α′, ιε′) καὶ ἡ γωνία ΑΗΔ = ΑΖΔ. Εἶναι ἄρα γωνία ΕΗΓ = 2ΑΖΔ.

5

Ἐὰν ἐκ τῶν ἄκρων τῆς διαμέτρου ἑνὸς ἡμικυκλίου ἀχθῶσι δύο χορδαὶ τεμνόμεναι ἐκτὸς τοῦ κύκλου, τὰ δὲ σημεῖα τομῆς τοῦ ἡμικυκλίου ἑνωθῶσιν ἐναλλὰξ μὲ τὰ ἄκρα ταῦτα, τὸ γινόμενον μιᾶς



ἐκ τῶν ἐντὸς τοῦ κύκλου τεμνομένων χορδῶν ἐπὶ τὸ ἀπώτερον πρὸς τὴν διάμετρον κείμενον τμῆμα αὐτῆς εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν δύο τμημάτων τῆς τεμνούσης τῆς διερχομένης διὰ τοῦ ἄκρου τῆς ἐντὸς τοῦ κύκλου χορδῆς.

[1]) Διότι γωνία ΔΗΤ + γωνία ΕΗΔ = 2 ὀρθαὶ (ἐφεξῆς παραπληρωματικαὶ μὲ τὰς μὴ κοινὰς πλευρὰς ἐπ' εὐθείας καὶ γωνία ΕΖΔ + ΕΗΔ = 2 ὀρθαί, ὡς ἀπέναντι γωνίαι τοῦ εἰς κύκλον ἐγγραψίμου τετραπλεύρου ΕΖΔΗ. Εἶναι ἄρα γωνία ΔΗΤ = γωνία ΕΖΔ).

Ἔστω γὰρ Β, Γ τὰ πέρατα διαμέτρου ἁμικυκλίου καὶ ἀπὸ τῶν περάτων τούτων ἄχθων δύο εὐθεῖαι τεμνόμεναι ἐκτὸς κατὰ τὸ Ε καὶ ἐπεζεύχθων ἐναλλὰξ ἀπὸ μὲν τοῦ σαμείου τομᾶς Α τᾶς ΒΕ ἁ ΑΓ, ἀπὸ δὲ τοῦ Δ ἁ ΔΒ, τεμνέσθων δὲ αἱ ἀχθεῖσαι ΑΓ, ΔΒ κατὰ τὸ Ζ. φαμὶ δή, τὸ ὑπὸ τᾶν ΒΔ, ΔΖ τῷ ὑπὸ τᾶν ΓΔ, ΔΕ ἴσον εἶμεν.

Ἐπεὶ γὰρ τὸ ὑπὸ τᾶν ΒΔ, ΔΖ τῷ ὑπὸ τᾶν ΓΔ, ΔΕ ἴσον ἐστίν, λόγος ὁ τᾶς ΒΔ ποτὶ τὰν ΔΓ ὁ αὐτός ἐστι τοῦ, ὃν ἔχει ἁ ΕΔ ποτὶ τὰν ΔΖ. ἐπιζευχθείσας οὖν τᾶς ΕΖ ἐσσεῖται τρίγωνον τὸ ΒΔΓ τριγώνῳ τῷ ΕΔΖ ὁμοῖον καὶ γωνία ἁ ὑπὸ ΔΒΓ τᾷ ὑπὸ ΔΕΖ ἴσα. ἐπεζεύχθω οὖν ἁ ΔΑ. καὶ ἐπεὶ γωνία ἁ ὑπὸ ΔΒΓ γωνίᾳ τᾷ ὑπὸ ΓΑΔ ἐστὶν ἴσα, ἔστιν ἄρα καὶ ἁ ὑπὸ ΔΕΖ τᾷ ὑπὸ ΓΑΔ ἴσα καὶ τὸ τετράπλευρον ΕΑΖΔ ἐν κύκλῳ ἐστὶν, ἐπεὶ γωνία ἁ ΕΔΖ μιᾷ ὀρθᾷ ἴσα καὶ γωνία ἁ ὑπὸ ΕΑΖ μιᾷ ὀρθᾷ ἴσα ἐστί. τὸ ἄρα ὑπὸ τῶν ΒΔ, ΔΖ τῷ ὑπὸ τῶν ΓΔ, ΔΕ ἴσον ἐστίν.

ϛ΄

Τὰς αὐτὰς καταγραφὰς γενομένας ὡς ἐν τῷ πρότερον, εἴ κα λαφθῇ ἀπὸ τοῦ σαμείου τομᾶς τῶν ἐν τῷ κύκλῳ τεμνομένων εὐθειῶν τμάματα ἴσα τοῖς γεωμετρικοῖς μέσοις τῶν εἰρημένων ὀρθογωνίων καὶ ἀπὸ τῶν ἄκρων τῶν τμαμάτων τούτων ἀχθέωντι εὐθεῖαι ποτὶ τὰ πέρατα τᾶς διαμέτρου, τμάματα τὰ ἀπὸ τῶν περάτων τῶν γεωμετρικῶν μέσων μέχρι τοῦ σαμείου τομᾶς τῶν εὐθειῶν τούτων ἴσα ἐντί.

Ἔστω ἁμικύκλιον περὶ διάμετρον τὰν ΒΓ καὶ δύο σαμεῖα τὰ Α, Δ ἐπὶ τοῦ ἁμικυκλίου, σαμεῖον δὲ τὸ Ι καθ' ὃ

Ἔστωσαν τὰ δύο ἄκρα Β, Γ τῆς διαμέτρου ἑνὸς ἡμικυκλίου καὶ ἐκ τούτων ἂς ἀχθῶσιν δύο χορδαὶ τεμνόμεναι ἐκτὸς τοῦ κύκλου εἰς τὸ σημεῖον Ε. Ἑνοῦμεν τὸ σημεῖον Α τῆς εὐθείας ΒΕ μὲ τὸ σημεῖον Γ καὶ τὸ σημεῖον Δ τῆς ΓΕ μὲ τὸ σημεῖον Β. Αἱ δύο αὗται εὐθεῖαι ΑΓ καὶ ΔΒ τέμνονται εἰς τὸ σημεῖον Ζ. Νὰ ἀποδειχθῇ ὅτι τὸ γινόμενον $ΒΔ \times ΔΖ = ΓΔ \times ΔΕ$.

Ἀ ν ά λ υ σ ι ς : Ἔστω ὅτι ἡ ἰσότης $ΒΔ \times ΔΖ = ΓΔ \times ΔΕ$ εἶναι ἀληθής. Ἑπομένως θὰ ἔχωμεν $\frac{ΒΔ}{ΔΓ} = \frac{ΕΔ}{ΔΖ}$, (Εὐκλ. ς΄, ις΄), καὶ ἂν φέρωμεν τὴν ΕΖ τὰ δύο τρίγωνα ΒΔΓ καὶ ΕΔΖ εἶναι ὅμοια καὶ ἡ γωνία ΔΒΓ = ΔΕΖ. Φέρομεν τὴν ΔΑ, ὁπότε ἡ γωνία ΔΒΓ = γωνίαν ΓΑΔ, (Εὐκλ. γ΄, κζ΄) καὶ ἐπομένως ἡ γωνία ΔΕΖ = γωνίαν ΓΑΔ καὶ συνεπῶς τὸ τετράπλευρον ΕΑΖΔ εἶναι ἐγγράψιμον εἰς κύκλον, διότι ἡ γωνία ΕΔΖ εἶναι ὀρθὴ (Εὐκλ. γ΄, λα΄) καὶ ἡ γωνία ΕΑΖ εἶναι ὀρθή (Εὐκλ. γ΄, λα΄). Εἶναι ἄρα τὸ γινόμενον $ΒΔ \times ΔΖ$ = γινόμενον $ΓΔ \times ΔΕ$.

6

Ἐὰν εἰς τὸ σχῆμα τοῦ προηγουμένου θεωρήματος ληφθῶσιν ἀπὸ τοῦ σημείου τομῆς τῶν ἐντὸς τοῦ κύκλου τεμνομένων χορδῶν, ἐπ᾽ αὐτῶν (τῶν χορδῶν) ἴσα τμήματα πρὸς τὰ γεωμετρικὰ μέσα τῶν εἰρημένων γινομένων καὶ ἀπὸ τῶν ἄκρων τῶν τμημάτων τούτων ἀχθῶσιν εὐθεῖαι πρὸς τὰ ἄκρα τῆς διαμέτρου, τὰ τμήματα ἀπὸ τῶν ἄκρων τῶν τμημάτων τῶν γεωμετρικῶν μέσων μέχρι τοῦ σημείου τομῆς τῶν εὐθειῶν εἶναι ἴσα.

Ἔστω ἡμικύκλιον μὲ διάμετρον ΒΓ καὶ δύο σημεῖα Α καὶ Δ ἐπὶ τοῦ ἡμικυκλίου. Τὸ σημεῖον τομῆς Ι τῶν ΒΔ καὶ ΓΑ εἶναι ἐντὸς *συμβαλλέοντι αἱ ΒΔ, ΓΑ ἐντὸς τοῦ κύκλου ἔστω ἔτι τὸ ὑπὸ τᾶν ΒΔ, ΔΙ τῷ ἀπὸ τᾶς ΔΖ τετραγώνῳ ἴσον καὶ τὸ ὑπὸ τᾶν ΓΑ, ΑΙ τῷ ἀπὸ τᾶς ΑΕ τετραγώνῳ ἴσον, ἐπεζεύχθων δὲ αἱ ΕΒ, ΖΓ τεμνόμεναι κατὰ τὸ Η σαμεῖον. φαμὶ δὴ τὰν ΖΗ ἴσαν εἶμεν τᾷ ΗΕ.*

Διαχθεῖσαι γὰρ αἱ ΒΑ, ΓΔ καὶ ἐκβληθεῖσαι τεμνάσθων ἐκτὸς τοῦ κύκλου κατὰ τὸ Τ. καὶ δέδεικται ἐν τῷ πρότερον, ὅτι τὸ ὑπὸ τᾶν ΒΔ, ΔΙ τῷ ὑπὸ τᾶν ΓΔ, ΔΤ ἴσον ἐστὶν καὶ τὸ ὑπὸ τᾶν ΓΑ, ΑΙ τῷ ὑπὸ τᾶν ΒΑ, ΑΤ ἴσον. ἔστιν ἄρα τὸ ὑπὸ τᾶν ΒΑ, ΑΤ τῷ ἀπὸ τᾶς ΑΕ τετραγώνῳ ἴσον καὶ τὸ ὑπὸ τᾶν ΓΔ, ΔΤ τῷ ἀπὸ τᾶς ΔΖ καὶ γωνίαι αἱ ὑπὸ ΤΔΖ, ΤΑΕ ὀρθαί. εἴ κα οὖν ἀχθέωντι αἱ ΤΖ, ΤΕ γωνίαι αἱ ΤΖΗ, ΤΕΗ ὀρθαί ἐντι. ἐπεὶ οὖν τὸ ὑπὸ τᾶν ΒΤ, ΤΑ τῷ ὑπὸ τᾶν ΓΤ, ΤΔ ἴσον ἐστίν, καὶ τὸ ὑπὸ τᾶν ΒΤ, ΤΑ τῷ ὑπὸ τᾶν ΒΑ, ΑΤ μετὰ τοῦ ἀπὸ τᾶς ΑΤ τετραγώνου, καὶ τὸ ὑπὸ τᾶν ΓΤ, ΤΔ τῷ ὑπὸ τᾶν ΓΔ, ΔΤ μετὰ τοῦ ἀπὸ τᾶς ΤΔ τετραγώνου ἴσον καὶ πάντα τὰ ἀπὸ τῶν ΒΑ, ΑΤ, ΓΔ, ΔΤ συναμφοτέροις τοῖς ἀπὸ τῶν ΑΕ, ΔΖ τετραγώνοις ἴσα, ἔστιν ἄρα συναμφότερα τὰ ἀπὸ τῶν ΤΑ, ΑΕ τετράγωνα συναμφοτέροις τοῖς ἀπὸ τῶν ΤΔ, ΔΖ ἴσα. Ἀλλὰ τὰ ἀπὸ τῶν ΤΑ, ΑΕ τετράγωνα τῷ ἀπὸ τᾶς ΤΕ τετραγώνῳ ἴσα ἐντί, ἐπεὶ γωνία ἁ ὑπὸ ΤΑΕ ὀρθά ἐστι. ἔστιν ἄρα τὸ ἀπὸ τᾶς ΤΖ τῷ ἀπὸ τᾶς ΤΕ τετραγώνῳ ἴσον καὶ πλευρὰ ἁ ΤΖ πλευρᾷ τᾷ ΤΕ ἴσα. ἐπιζευχθείσας οὖν τᾶς ΖΕ, γωνία ἁ ὑπὸ ΤΖΕ γωνίᾳ τᾷ ὑπὸ ΤΕΖ ἐστιν ἴσα. ἀλλὰ γωνία ἁ ὑπὸ ΤΖΗ γωνίᾳ τᾷ ὑπὸ ΤΕΗ ἐστιν ἴσα, τουτέστι μιᾷ ὀρθᾷ ἴσα. ἔστιν ἄρα γωνία ἁ ὑπὸ ΗΖΕ γωνίᾳ τᾷ ὑπὸ ΖΕΗ καὶ πλευρὰ ἁ ΗΖ τᾷ ΗΕ ἴσα.

δέδεικται οὖν τὸ προτεθέν.

τοῦ κύκλου. Ἔστω ἐπίσης ὅτι ΒΔ $\times$ ΔΙ $=$ ΔΖ^2 καὶ ΓΑ $\times$ ΑΙ $=$ ΑΕ^2. Φέρομεν τὴν ΕΒ καὶ τὴν ΖΓ. Ἔστω Η τὸ σημεῖον τομῆς τούτων. (Λέγω, ὅτι ΗΖ $=$ ΗΕ).

Φέρομεν τὴν εὐθεῖαν ΒΑ καὶ τὴν ΓΔ καὶ προεκτείνομεν αὐτὰς μέχρι τοῦ σημείου τομῆς Τ ἐκτὸς τοῦ κύκλου. Ἐκ τοῦ προηγουμένου θεωρήματος ἔχομεν ἀποδείξει, ὅτι ΒΔ $\times$ ΔΙ $=$ ΓΔ $\times$ ΔΤ καὶ ΓΑ $\times$ ΑΙ $=$ ΒΑ $\times$ ΑΤ. Εἶναι ἄρα τὸ γινόμενον ΒΑ $\times$ ΑΤ $=$ΑΕ^2 καὶ τὸ γινόμενον ΓΔ $\times$ ΔΤ $=$ ΔΖ^2 καὶ αἱ γωνίαι ΤΔΖ καὶ ΤΑΕ



εἶναι ὀρθαὶ (Εὐκλ. γ′, λα′. α′, ιγ′). Ἐὰν φέρωμεν τὰς εὐθείας ΤΖ καὶ ΤΕ αἱ γωνίαι ΤΖΗ καὶ ΤΕΗ εἶναι ὀρθαί. Ἐπειδὴ ΒΤ $\times$ ΤΑ $=$ ΓΤ $\times$ ΤΔ, (Εὐκλ. γ′, λε′) καὶ ΒΤ $\times$ ΤΑ $=$ ΒΑ $\times$ ΑΤ $+$ ΑΤ^2, (Εὐκλ. β′ γ′,) ΓΤ $\times$ ΤΔ $=$ ΓΔ $\times$ ΔΤ $+$ ΤΔ^2 καὶ ΒΑ$^2+$ ΑΤ$^2+$ ΓΔ^2 $+$ ΔΤ^2 $=$ ΑΕ^2 $+$ ΔΖ^2 θὰ εἶναι ΤΑ$^2+$ ΑΕ^2 $=$ ΤΔ^2 $+$ ΔΖ^2. Ἀλλὰ ΤΑ^2 $+$ ΑΕ^2 $=$ ΤΕ^2, (Εὐκλ. α′, μζ′), διότι ἡ γωνία ΤΑΕ εἶναι ὀρθὴ καὶ ἑπομένως ΤΖ^2 $=$ ΤΕ^2 καὶ ΤΖ $=$ ΤΕ, καὶ ἂν ἑνώσωμεν τὸ σημεῖον Ζ μὲ τὸ Ε, αἱ δύο γωνίαι ΤΖΕ καὶ ΤΕΖ θὰ εἶναι ἴσαι. Ἀλλὰ ἡ γωνία ΤΖΗ $=$ ΤΕΗ $=$ μίαν ὀρθήν. Ἑπομένως ἡ γωνία ΗΖΕ $=$ γωνία ΖΕΗ καὶ ΗΖ $=$ ΗΕ (Εὐκλ. α′, ε′). ὅ.ἔ.δ.

ζ'

Εἴ κα ἀπὸ σαμείου τινὸς ἐντὸς ἰσοπλεύρου τριγώνου ἀχθέωντι τρεῖς καθέτοι ἐπὶ τὰς πλευρὰς πᾶσαι αἱ καθέτοι αὗται τῷ ὕψει τοῦ τριγώνου ἴσαι ἐντί.

Ἔστω ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ καὶ ἔστω πρότερον καθέτοι ἀπὸ τῶν κορυφῶν τοῦ τριγώνου ἐπὶ τὰς βάσιας ἀγμέναι αἱ ΑΖ, ΒΔ, ΓΕ. φαμὶ δὴ αἱ ἀγμέναι καθέτοι ἴσαι ἀλλάλαις ἐντί.

Ἐπεὶ γὰρ τρίγωνον τὸ ΑΒΓ ἰσοσκελές ἐστι, κάθετος ἁ ΑΖ κάθετος ἐπὶ μέσαν τὰν βάσιν ΒΓ ἀγμένα ἐστίν. ἔστιν ἄρα ἁ ΒΖ τᾷ ΖΓ ἴσα. Διὰ τὰ αὐτὰ δή, ἐπεὶ τρίγωνον τὸ ΒΓΑ ἰσοσκελές ἐστι, κάθετος ἁ ΓΕ ἐπὶ μέσαν τὰν βάσιν ΑΒ ἀγμένα ἐστίν. ἔστιν ἄρα ἁ ΑΕ τᾷ ΕΒ ἴσα, τουτέστιν τᾷ ΓΖ. ἐπεὶ οὖν δύο τρίγωνα τὰ ΑΕΓ, ΑΖΓ ἴσα ἐντί, ἐπεὶ πλευρὰ ἁ ΑΕ ἴσα τᾷ ΓΖ ἐστι, βάσις δὲ ἁ ΑΓ κοινά, γωνία δὲ ἁ ὑπὸ ΕΑΓ τᾷ ὑπὸ ΖΓΑ ἴσα, ἔστιν ἄρα πλευρὰ ἁ ΑΖ τᾷ ΓΕ ἴσα. Πάλιν, ἐπεὶ τρίγωνον τὸ ΓΒΑ ἰσοσκελές ἐστι, κάθετος ἁ ΒΔ ἐπὶ μέσαν τὰν βάσιν ΑΓ ἀγμένα ἐστίν. ἔστιν ἄρα ἁ ΑΔ τᾷ ΔΓ ἴσα καὶ ΔΓ τᾷ ΒΕ. Ἐπεὶ οὖν δύο τρίγωνα τὰ ΒΔΓ, ΓΕΒ ἴσα ἐντί, ἐπεὶ πλευρὰ ἁ ΒΕ τᾷ ΓΔ ἐστὶν ἴσα καὶ βάσις ἁ ΒΓ κοινά, γωνία δὲ ἁ ΕΒΓ γωνίᾳ τᾷ ὑπὸ ΔΓΒ ἴσα, ἔστιν ἄρα πλευρὰ ἁ ΒΔ τᾷ ΓΕ ἴσα. δέδεικται δέ, ὅτι ἁ ΑΖ τᾷ ΓΕ ἴσα ἐστίν. ἔστιν ἄρα ἁ ΑΖ τᾷ ΒΔ ἴσα, τουτέστιν τρεῖς αἱ ΑΖ, ΒΔ, ΓΕ ἴσαι ἀλλάλαις ἐντί·



7

Τὸ ἄθροισμα τῶν ἔκ τινος σημείου εὑρισκομένου ἐντὸς ἰσοπλεύρου τριγώνου ἀγομένων ἐπὶ τὰς τρεῖς πλευρὰς τοῦ τριγώνου καθέτων εἶναι ἴσον πρὸς τὸ ὕψος.

Ἔστω τὸ ἰσόπλευρον τρίγωνον ΑΒΓ. Ἐὰν ἀπὸ τὰς κορυφὰς Α, Β, Γ φέρωμεν ἀντιστοίχως τὰς καθέτους ΑΖ, ΒΔ, ΓΕ ἐπὶ τὰς ἀπέναντι πλευρὰς νὰ ἀποδειχθῇ, ὅτι ΑΖ = ΒΔ = ΓΕ.

Ἀ π ό δ ε ι ξ ι ς: Ἐπειδὴ τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσοσκελὲς ἡ κάθετος ΑΖ εἶναι καὶ διάμεσος· εἶναι ἄρα ΒΖ = ΖΓ. Ἐπίσης ἐπειδὴ τὸ τρίγωνον ΒΓΑ εἶναι ἰσοσκελὲς, ἡ κάθετος ΓΕ εἶναι καὶ αὐτὴ διάμεσος· εἶναι ἄρα ΑΕ = ΕΒ, καὶ συνεπῶς ΓΖ = ΑΕ (Εὐκλ. κοιν. ἐνν. α′). Λαμβάνομεν τὰ δύο τρίγωνα ΑΕΓ καὶ ΑΖΓ. Ταῦτα εἶναι ἴσα ἐπειδὴ ἔχουν τὴν ΑΓ κοινήν, τὴν ΑΕ = ΓΖ καὶ τὴν γωνίαν ΕΑΓ = ΖΓΑ (Εὐκλ. α′, δ′). Εἶναι ἄρα ΑΖ = ΓΕ.

Ἐπειδὴ τὸ τρίγωνον ΓΒΑ εἶναι ἰσοσκελὲς ἡ κάθετος ΒΔ εἶναι καὶ διάμεσος. Ἑπομένως ΑΔ = ΔΓ· εἶναι ἄρα ΔΓ = ΒΕ. Λαμβάνομεν τὰ δύο τρίγωνα ΒΔΓ καὶ ΓΕΒ. Ταῦτα εἶναι ἴσα, διότι ἡ ΒΓ εἶναι κοινή, ἡ ΒΕ = ΓΔ καὶ ἡ γωνία ΕΒΓ = ΔΓΒ. Ἑπομένως ΒΔ = ΓΕ. Ἔχομεν ἤδη ἀποδείξει ὅτι ΑΖ = ΓΕ. Εἶναι ἄρα ΑΖ = ΒΔ (Εὐκλ. κοιναὶ ἔννοιαι α′)· καὶ συνεπῶς ΑΖ = ΒΔ = ΓΕ.

(Σημείωσις. Ὁ μαθηματικὸς κ. Δημήτριος Βάθης παρέσχεν εἰς ἡμᾶς τὴν πληροφορίαν, δι' ἐπιστολῆς του ἀπὸ 8 - 8 - 1971, ἐξ Ἁγίου Νικολάου Χαλκίδος, ὅτι τὸ θεώρημα αὐτὸ τοῦ Ἀρχιμήδους (καὶ τὰ δύο κατωτέρω) ὑπάρχει εἰς ὅλα τὰ βιβλία τῆς γεωμετρίας, ὡς ἄσκησις, χωρὶς νὰ ἀναφέρηται ὅτι εἶναι πρότασις τοῦ Ἀρχιμήδους. Ἐπὶ πλέον δὲ ὅτι εἰς τὸ βιβλίον « 100 Great Problems of Elementary Mathematics » (Dover Publications) ἡ πρότασις αὕτη ἀναφέρεται ὡς θεώρημα τοῦ Viviani (1622 - 1703) Ἰταλοῦ μαθηματικοῦ, μαθητοῦ τοῦ Γαλιλαίου καὶ τοῦ Τορικέλλι ! ! !).

η′

Ἔστω πάλιν ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ καὶ ΑΔ ἁ ἀπὸ τοῦ Α ἐπὶ μέσαν τὰν βάσιν ΒΓ ἀγμένα κάθετος. λελάφθω ἐπὶ τᾶς ΒΔ σαμεῖόν τι Ε καὶ ἀπὸ τοῦ Ε ἄχθων πρὸς ὀρθὰς ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς ταῖς ΑΒ, ΑΓ αἱ ΕΗ, ΕΖ. φαμὶ δή, ὅτι ἁ ΑΔ συναμφοτέρῳ τᾷ ΕΗ, ΕΖ ἴσα ἐστίν.

Ἄχθω γὰρ ἀπὸ τοῦ Ε παρὰ τὰν ΑΓ ἁ ΕΤ καὶ ἀπὸ τοῦ Β ποτ' ὀρθὰς τᾷ ΑΓ ἁ ΒΙ. ἐπεὶ οὖν τρίγωνον τὸ ΑΒΓ ἰσόπλευρόν ἐστι καὶ παρὰ τὰν ΑΓ ἆκται ἁ ΕΤ, ἐσσεῖται καὶ τρίγωνον τὸ ΒΕΤ ἰσόπλευρον. καὶ ἐπεὶ ἁ ΒΙ τᾷ ΑΓ ποτ' ὀρθὰς ἆκται καὶ ἁ ΕΤ παρὰ τὰν ΑΓ, ἔστιν ἄρα ἁ ΒΚΙ ποτ' ὀρθὰς τᾷ ΕΤ, καὶ ἁ ΚΙ τᾷ ΕΖ ἴσα, ἐπεὶ σχᾶμα τὸ ΕΚΙΖ ὀρθογώνιόν ἐστι. καὶ δέδεικται ἐν τῷ πρότερον, ὅτι τὰ ὕψη ἰσοπλεύρου τριγώνου ἴσα ἀλλάλοις ἐντί. ἔστιν ἄρα ἁ ΕΗ τᾷ ΒΚ ἴσα καὶ συναμφότερος ἁ ΒΚ, ΚΙ, συναμφοτέρῳ τᾷ ΕΗ, ΕΖ ἴσα ἐστί, τουτέστιν ἁ ΒΙ συναμφοτέρῳ τᾷ ΕΗ, ΕΖ ἐστιν ἴσα. ἀλλὰ ἁ ΒΙ τᾷ ΑΔ ἐστὶν ἴσα. ἔστιν ἄρα ἁ ΑΔ συναμφοτέρῳ τᾷ ΕΗ, ΕΖ ἴσα.

θ′

Ἔστω πάλιν ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ καὶ ΑΔ ἁ ἀπὸ τοῦ Α ἐπὶ μέσαν τὰν βάσιν ΒΓ ἀγμένα κάθετος, λελάφθω δὲ σαμεῖόν τι τὸ Ε τοῦ τριγώνου ΑΒΓ ἐντὸς καὶ ἀπὸ τοῦ Ε ἄχθων ποτ' ὀρθὰς ταῖς βάσεσσιν ΑΒ, ΒΓ, ΑΓ αἱ ΕΗ, ΕΖ, ΕΤ. φαμὶ δὴ τὰν ΑΔ κάθετον, ταῖς καθέτοις ΕΖ, ΕΗ, ΕΤ ἴσαν εἶμεν.

8

Ἔστω πάλιν ἰσόπλευρον τρίγωνον τὸ ΑΒΓ καὶ ΑΔ ἡ κάθετος ἐπὶ τὴν βάσιν ΒΓ. Ἐπὶ τῆς ΒΔ λαμβάνομεν τυχὸν σημεῖον Ε καὶ ἐκ τοῦ σημείου τούτου φέρομεν τὰς δύο καθέτους ΕΗ καὶ ΕΖ ἀντιστοίχως ἐπὶ τὰς πλευρὰς ΑΒ καὶ ΑΓ. Νὰ ἀποδειχθῇ ὅτι ΑΔ = ΖΕ + ΕΗ.



Ἀ π ό δ ε ι ξ ι ς: Ἐκ τοῦ σημείου Ε φέρομεν τὴν ΕΤ παράλληλον πρὸς τὴν ΑΓ καὶ ἐκ τοῦ σημείου Β φέρομεν τὴν κάθετον ΒΙ ἐπὶ τὴν βάσιν ΑΓ. Ἐπειδὴ τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσόπλευρον καὶ ἡ ΑΓ εἶναι παράλληλος πρὸς τὴν ΕΤ, τὸ τρίγωνον ΒΕΤ εἶναι ἰσόπλευρον (Εὐκλ. ς′,β′). Καὶ ἐπειδὴ ἡ ΒΙ εἶναι κάθετος ἐπὶ τὴν ΑΓ καὶ ἡ ΑΓ εἶναι παράλληλος πρὸς τὴν ΕΤ, ἡ ΒΚΙ εἶναι κάθετος ἐπὶ τὴν ΕΤ (Εὐκλ. α′, κθ′) καὶ ἡ εὐθεῖα ΚΙ = ΕΖ (Εὐκλ. α′, λδ′), διότι τὸ ΕΚΙΖ εἶναι ὀρθογώνιον παραλληλόγραμμον καὶ ἔχομεν ἤδη ἀποδείξει, ὅτι τὰ ὕψη εἰς ἓν ἰσόπλευρον τρίγωνον εἶναι ἴσα καὶ ἑπομένως ΕΗ = ΒΚ. Θὰ εἶναι ἄρα ΒΚ + ΚΙ = ΕΗ + ΕΖ, δηλαδὴ ΒΙ = ΕΗ + ΕΖ. Ἀλλὰ ΒΙ = ΑΔ. Θὰ εἶναι ἄρα ΑΔ = ΕΗ + ΕΖ.

9

Ἔστω τὸ ἰσόπλευρον τρίγωνον ΑΒΓ καὶ ἡ ΑΔ κάθετος ἐπὶ τὴν βάσιν ΒΓ.

Ἔστω τὸ τυχὸν σημεῖον Ε ἐντὸς τοῦ τριγώνου. Ἐκ τοῦ σημείου Ε φέρομεν τὰς καθέτους ΕΗ, ΕΖ, καὶ ΕΤ ἀντιστοίχως ἐπὶ τὰς πλευρὰς τοῦ τριγώνου ΑΒ, ΒΓ, καὶ ΑΓ. Νὰ ἀποδειχθῇ ὅτι ΑΔ = ΕΖ + ΕΗ + ΕΤ.

Ἄχθω γὰρ ἀπὸ τοῦ Ε παρὰ τὰν ΒΓ εὐθεῖα ἁ ΙΕΛΚ. ἐπεὶ οὖν ἁ ΙΚ παρὰ τὰν ΒΓ ἆκται καὶ ἁ ΕΖ παρὰ τὰν ΔΛ σχᾶμα τὸ ΖΕΛΔ ὀρθογώνιόν ἐστι· ἔστιν ἄρα ἁ ΖΕ τᾷ ΔΛ ἴσα. καὶ ἐπεὶ ἐν ἰσοπλεύρῳ τριγώνῳ τῷ ΑΒΓ ποτ' ὀρθὰς τᾷ βάσει ΒΓ ἆκται ἁ ΑΔ καὶ παρὰ τὰν βάσιν ΒΓ ἁ ΙΚ, ἐσσεῖται τρίγωνον τὸ ΑΙΚ ἰσόπλευρον. καὶ δέδεικται ἐν τῷ πρότερον, ὅτι εἴ κα ἐν ἰσοπλεύρῳ τριγώνῳ ΑΙΚ καὶ ἀπὸ σαμείου τινὸς Ε βάσιος τᾶς ΙΚ ἀχθέωντι δύο καθέτοι ἁ μὲν ΕΗ ἐπὶ βάσιν τὰν ΑΙ, ἁ δὲ ΕΤ ἐπὶ βάσιν τὰν ΑΚ τὸ ὕψος τριγώνου τοῦ ΑΙΚ συναμφοτέρῳ τᾷ ΕΗ, ΕΤ ἴσον ἐστίν. καὶ δέδεικται, ὅτι αἱ ΖΕ, ΔΛ ἴσαι ἀλλάλαις ἐντί. συναμφότερος ἄρα ἁ ΑΛ, ΛΔ πάσαις ταῖς ΕΗ, ΕΤ, ΕΖ ἴσαι ἐντί, τουτέστιν ἁ ΑΔ πάσαις ταῖς ΕΗ, ΕΤ, ΕΖ ἴσα.

ι'

Εἴ κα ἀπὸ τᾶς κορυφᾶς ἰσοσκελοῦς τριγώνου ἀχθῇ κάθετος ἐπὶ μίαν τᾶν ἰσᾶν πλευρᾶν τεμνέουσα τὰν ἐκβολὰν τᾶς



βάσιος τοῦ τριγώνου καὶ ἀπὸ τοῦ σαμείου τομᾶς ἀχθῇ εὐθεῖα ἐπὶ μέσαν τὰν εἰρημέναν πλευρὰν καὶ ἀπὸ τοῦ μέσου τομᾶς τᾶς εὐθείας ταύτας καὶ τᾶς ἑτέρας πλευρᾶς ἀχθῇ παράλληλος τᾷ πρώτᾳ πλευρᾷ, ἁ ἑτέρα πλευρὰ μέσον ἀνάλογόν ἐστιν

'Α π ό δ ε ι ξ ι ς : 'Εκ τοῦ σημείου Ε φέρομεν τὴν εὐθεῖαν ΙΕΛΚ παράλληλον πρὸς τὴν εὐθεῖαν ΒΓ. 'Επειδὴ ἡ ΙΚ εἶναι παράλληλος πρὸς τὴν ΒΓ καὶ ἡ ΕΖ εἶναι παράλληλος πρὸς τὴν ΔΛ, τὸ σχῆμα ΖΕΛΔ εἶναι ὀρθογώνιον παραλληλόγραμμον καὶ ἑπομένως ΖΕ = ΔΛ (Εὐκλ. α', λδ'). 'Επίσης ἐπειδὴ τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσόπλευ-



ρον καὶ ἡ ΑΔ εἶναι τὸ ὕψος του καὶ ἐπειδὴ ἡ ΙΚ εἶναι παράλληλος πρὸς τὴν ΒΓ, τὸ τρίγωνον ΑΙΚ εἶναι ἰσόπλευρον (Εὐκλ. ς'. β'). Καὶ ὡς ἔχομεν ἀποδείξει εἰς τὸ προηγούμενον θεώρημα, ἐὰν εἰς τὸ ἰσόπλευρον τρίγωνον ΑΙΚ, ἐκ τυχόντος σημείου Ε κειμένου εἰς τὴν βάσιν του ΙΚ φέρωμεν δύο καθέτους ΕΗ καὶ ΕΤ ἀντιστοίχως ἐπὶ τὰς εὐθείας ΑΙ καὶ ΑΚ, τότε τὸ ὕψος ΑΛ = ΕΗ + ΕΤ. Καὶ εἶναι ΛΔ = ΖΕ. Εἶναι ἄρα ΑΛ + ΛΔ = ΕΗ + ΕΤ + ΕΖ, δηλαδὴ ΑΔ = ΕΗ + ΕΤ + ΕΖ.

10

'Εὰν εἰς τὴν κορυφὴν ἰσοσκελοῦς τριγώνου ἀχθῇ κάθετος ἐπὶ μίαν τῶν ἴσων πλευρῶν τέμνουσα τὴν προέκτασιν τῆς βάσεως τοῦ τριγώνου καὶ ἐκ τοῦ σημείου τομῆς ἀχθῇ εὐθεῖα μέχρι τοῦ μέσου τῆς εἰρημένης πλευρᾶς καὶ ἐκ τοῦ σημείου τομῆς τῆς εὐθείας ταύτης μετὰ τῆς ἄλλης πλευρᾶς ἀχθῇ παράλληλος πρὸς τὴν πρώτην *πάσας τᾶς ἐπὶ τὰν κορυφὰν ἀχθείσας καθέτου καὶ τοῦ μεταξὺ τᾶς κορυφᾶς καὶ τᾶς ἀχθείσας παραλλάλου τμάματος αὐτᾶς.*

Ἔστω γὰρ τρίγωνον ἰσοσκελὲς τὸ ΑΒΓ καὶ ἀπὸ κορυφᾶς τᾶς Α ἄχθω κάθετος ἐπὶ μίαν τῶν ἴσων πλευρῶν ΑΒ ἁ ΑΔ, ἃ συμβαλλέτω τᾷ ἐκβολᾷ τᾶς βάσιος τοῦ τριγώνου κατὰ τὸ Δ σαμεῖον καὶ ἀπὸ τοῦ Δ ἄχθω ἐπὶ μέσαν τὰν ΑΒ τὰν Ε ἁ ΕΔ, τεμνέουσα τὰν ΑΓ κατὰ τὸ Ζ σαμεῖον καὶ ἀπὸ τοῦ Ζ ἄχθω παρὰ τὰν ΑΒ ἁ ΖΗ. δεικτέον, ὅτι τὸ ὑπὸ τᾶν ΔΑ, ΑΗ τῷ ἀπὸ τᾶς ΑΓ τετραγώνῳ ἴσον ἐστίν.

Ἐκβεβλήσθω γὰρ ἁ ΗΖ ἐπὶ τὸ Τ σαμεῖον. ἐπεὶ οὖν τρίγωνον τὸ ΑΒΓ ἰσοσκελές ἐστι καὶ παρὰ τὰν ΑΒ ἆκται ἁ ΖΤ, ἔστιν ἄρα ἁ ΖΤ τᾷ ΖΓ ἴσα. πάλιν, ἐπεὶ ἁ ΑΕ τᾷ ΕΒ ἴσα ἐστὶ καὶ ἁ ΗΤ ἆκται παρὰ τὰν ΕΒ, ἔστιν ἄρα ἁ ΖΗ τᾷ ΖΤ ἴσα, καὶ δέδεικται, ὅτι ἁ ΖΤ τᾷ ΖΓ ἴσα ἐστίν. ἔστιν ἄρα ἁ ΖΗ τᾷ ΖΓ ἴσα, τουτέστιν τᾷ ΖΤ. καὶ διαχθείσας τᾶς ΗΓ ἐσσεῖται γωνία ἁ ὑπὸ ΗΓΤ ὀρθὰ καὶ αἱ λοιπαὶ γωνίαι τριγώνου τοῦ ΗΓΤ, αἱ ΖΗΓ, ΖΤΓ μιᾷ ὀρθᾷ ἴσαι καὶ γωνία ἁ ΖΤΓ τᾷ ΑΒΓ ἴσα. γωνίαι ἄρα αἱ ὑπὸ ΑΒΓ, ΖΗΓ μιᾷ ὀρθᾷ ἴσαι ἐντὶ καὶ αἱ ὑπὸ ΑΒΓ, ΑΔΒ μιᾷ ὀρθᾷ ἴσαι. ἔστιν ἄρα γωνία ἁ ὑπὸ ΑΔΒ τᾷ ὑπὸ ΖΗΓ ἴσα. ἀλλὰ γωνία ἁ ὑπὸ ΖΗΓ τᾷ ὑπὸ ΖΓΗ ἐστιν ἴσα. ἔστιν ἄρα γωνία ἁ ὑπὸ ΑΔΒ τᾷ ὑπὸ ΖΓΗ ἴσα. ἔστιν ἄρα τὸ ὑπὸ τᾶν ΔΑ, ΑΗ τῷ ἀπὸ τᾶς ΑΓ τετραγώνῳ ἴσον.

ια´

Εἴ κα ἀπὸ τᾶς κορυφᾶς τριγώνου ἀχθῇ εὐθεῖα τεμνέουσα τὰν βάσιν οὕτως, ὥστε γωνία ἁ ὑπὸ τᾶς ἀχθείσας πλευράν, ἡ ἄλλη πλευρὰ εἶναι τὸ γεωμετρικὸν μέσον ὅλης τῆς ἐπὶ τὴν κορυφὴν ἀχθείσης καθέτου καὶ τοῦ τμήματος αὐτῆς μέχρι τῆς ἀχθείσης παραλλήλου.

Ἐκ τῆς κορυφῆς Α τοῦ ἰσοσκελοῦς τριγώνου ΑΒΓ φέρομεν τὴν κάθετον ΑΔ ἐπὶ τὴν ΑΒ. Προεκτείνομεν τὴν ΒΓ μέχρι τοῦ σημείου Δ. Ἐκ τοῦ σημείου Ε, μέσου τῆς ΑΒ, φέρομεν τὴν ΕΔ, ἡ ὁποία τέμνει τὴν ΑΓ εἰς τὸ σημεῖον Ζ. Ἐὰν ἐκ τοῦ σημείου Ζ φέρωμεν τὴν παράλληλον ΖΗ πρὸς τὴν ΑΒ, νὰ ἀποδειχθῇ ὅτι ΔΑ × ΑΗ = ΑΓ².

Ἀ π ό δ ε ι ξ ι ς: Προεκτείνομεν τὴν ΗΖ μέχρι τοῦ σημείου Τ. Ἐπειδὴ τὸ τρίγωνον ΑΒΓ εἶναι ἰσοσκελὲς καὶ ἡ ΖΤ εἶναι παράλληλος πρὸς τὴν ΑΒ, ἕπεται, ὅτι ΖΤ = ΖΓ. Ἐπίσης, ἐπειδὴ ΑΕ = ΕΒ καὶ ἡ ΕΒ εἶναι παράλληλος πρὸς τὴν ΗΤ, ἕπεται, ὅτι ΖΗ = ΖΤ. Καὶ ἔχομεν ἀποδείξει ὅτι ΖΤ = ΖΓ. Εἶναι ἄρα ΖΗ = ΖΓ καὶ ΖΤ = ΖΗ = ΖΓ. Φέρομεν τὴν ΗΓ. Ἡ γωνία ΗΓΤ εἶναι ὀρθὴ καὶ αἱ λοιπαὶ γωνίαι τοῦ τριγώνου ΗΓΤ ἤτοι γωνία ΖΗΓ + γωνία ΖΤΓ = 1 ὀρθή, καὶ ἡ γωνία ΖΤΓ = γωνία ΑΒΓ, (Εὐκλ. α',ε'). Ἑπομένως ἡ γωνία ΑΒΓ + ΖΗΓ = 1 ὀρθὴ καὶ ἡ γωνία ΑΒΓ + ΑΔΒ = 1 ὀρθή. Εἶναι ἄρα γωνία ΑΔΒ = γωνία ΖΗΓ. Ἀλλὰ ἡ γωνία ΖΗΓ = γωνίαν ΖΓΗ (Εὐκλ. α',ε'). Εἶναι ἄρα ἡ γωνία ΑΔΒ = γωνίαν ΖΓΗ. Ἑπομένως ΔΑ × ΑΗ = ΑΓ², ἐκ τῶν ὁμοίων τριγώνων ΑΗΓ καὶ ΑΓΔ [1]).

11

Ἐὰν ἐκ τῆς κορυφῆς τριγώνου ἀχθῇ εὐθεῖα τέμνουσα τὴν βάσιν, ὥστε ἡ γωνία ἡ σχηματιζομένη ὑπὸ τῆς εὐθείας ταύτης καὶ μιᾶς

---

1) Τὸ τρίγωνον ΑΗΓ εἶναι ὅμοιον πρὸς τὸ τρίγωνον ΑΓΔ, διότι ἡ γωνία ΑΓΗ = γωνίαν ΑΔΒ καὶ ἡ γωνία ΓΑΗ εἶναι κοινή. Εἶναι ἄρα $\frac{\text{ΔΑ}}{\text{ΑΓ}} = \frac{\text{ΑΓ}}{\text{ΑΗ}}$ καὶ συνεπῶς ΔΑ × ΑΗ = ΑΓ² (Εὐκλ. ϛ', ιϛ').

καὶ μιᾶς τᾷ κορυφᾷ ποτικειμένης πλευρᾶς τοῦ τριγώνου γωνίᾳ τᾷ ὑπὸ τᾶς ἑτέρας πλευρᾶς καὶ τᾶς βάσιος τοῦ τριγώνου ἴσαν εἶμεν, ἐσσεῖται τὸ ὑπὸ τᾶς βάσιος καὶ τοῦ τμάματος τᾶς βάσιος τὸ μὴ ποτικείμενον τᾷ παρὰ τᾷ βάσει εἰρημένᾳ γωνίᾳ τῷ ἀπὸ τᾶς τᾷ κορυφᾷ τᾶς πρώτας γωνίας ποτικειμένας πλευρᾶς τετραγώνῳ ἴσον.



Ἔστω γὰρ τρίγωνον τὸ ΑΒΓ καὶ ἀπὸ τοῦ Α ἄχθω ἐπὶ τὰν βάσιν ἁ ΑΔ οὕτως, ὥστε γωνίαν τὰν ὑπὸ ΔΑΒ τᾷ ὑπὸ ΑΓΒ ἴσαν εἶμεν. φαμὶ δὴ τὸ ὑπὸ τᾶν ΓΒ, ΒΔ τῷ ἀπὸ τᾶς ΑΒ τετραγώνῳ ἴσον εἶμεν.

Ἐπεὶ γὰρ ἐν δυσὶ τριγώνοις τοῖς ΑΔΒ, ΓΑΒ γωνία ἁ ὑπὸ ΑΓΒ γωνίᾳ τᾷ ὑπὸ ΔΑΒ ἴσα ἐστὶ καὶ γωνία ἁ ὑπὸ ΑΒΔ κοινά, ἔστιν ἄρα γωνία ἁ ὑπὸ ΑΔΒ γωνίᾳ τᾷ ὑπὸ ΒΑΓ ἴσα· τὰ δύο ἄρα εἰρημένα τρίγωνα τὰ ΑΔΒ, ΓΑΒ ὁμοῖά ἐντι. ἔστιν ἄρα λόγος ὁ τᾶς ΔΒ ποτὶ τὰν ΑΒ ὁ αὐτὸς τοῦ, ὃν ἔχει ἁ ΑΒ ποτὶ τὰν ΓΒ, τουτέστιν τὸ περιεχόμενον ὑπὸ τῶν ΔΒ, ΓΒ τῷ ἀπὸ τᾶς ΑΒ τετραγώνῳ ἴσον ἐστίν.

ιβ′

Εἴ κα ἀπὸ τᾶς κορυφᾶς ἰσοσκελοῦς τριγώνου ἀχθῇ τις εὐθεῖα ποτ᾽ ὀρθὰς τᾷ βάσει, τὸ δὶς ὑπὸ τᾶς βάσιος καὶ ἑνὸς τῶν τμαμάτων αὐτᾶς, τῷ ἀπὸ μιᾶς τῶν ἴσων πλευρῶν τετραγώνῳ ἴσον ἐστίν.

Ἔστω τρίγωνον ἰσοσκελὲς τὸ ΑΒΓ πλευρὰν ἔχον τὰν ΑΒ πλευρᾷ τᾷ ΒΓ ἴσαν καὶ ἀπὸ τοῦ Α ἄχθω ποτ᾽ ὀρθὰς βάσει τᾷ ΒΓ ἁ ΑΔ. φαμὶ δή, τὸ δὶς ὑπὸ τᾶν ΔΓ, ΓΒ τῷ ἀπὸ τᾶς ΑΓ τετραγώνῳ ἴσον εἶμεν.

εἰς τὴν κορυφὴν προσκειμένης πλευρᾶς νὰ εἶναι ἴση πρὸς τὴν γωνίαν τὴν σχηματιζομένην ὑπὸ τῆς βάσεως καὶ τῆς ἄλλης πλευρᾶς τοῦ τριγώνου, τὸ γινόμενον τῆς βάσεως ἐπὶ τὸ τμῆμα αὐτῆς τὸ μὴ προσκείμενον πρὸς τὴν παρὰ τὴν βάσιν εἰρημένην γωνίαν εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς εἰς τὴν κορυφὴν τῆς ἀρχικῆς γωνίας προσκειμένης πλευρᾶς.

Ἔστω τυχὸν τρίγωνον τὸ ΑΒΓ. Ἐκ τοῦ σημείου Α φέρομεν τὴν εὐθεῖαν ΑΔ οὕτως, ὥστε νὰ σχηματίζῃ μετὰ τῆς ΑΒ τὴν γωνίαν ΔΑΒ ἴσην πρὸς τὴν ΑΓΒ. Νὰ ἀποδειχθῇ ὅτι $ΓΒ \times ΒΔ = ΑΒ^2$.

Ἀ π ό δ ε ι ξ ι ς: Τὰ δύο τρίγωνα ΑΔΒ καὶ ΓΑΒ εἶναι ὅμοια διότι εἶναι ἐξ ὑποθέσεως γωνία ΑΓΒ = ΔΑΒ καὶ ἡ γωνία ΑΒΔ κοινὴ καὶ συνεπῶς γωνία ΑΔΒ = γωνία ΒΑΓ. Τὰ δύο ἄρα τρίγωνα ΑΔΒ, ΓΑΒ εἶναι ὅμοια. Θὰ εἶναι ἄρα $\frac{ΔΒ}{ΑΒ} = \frac{ΑΒ}{ΓΒ}$,(Εὐκλ. ϛ',δ') καὶ ἐκ τούτου $ΔΒ \times ΓΒ = ΑΒ^2$.

12

Ἐὰν ἐκ τῆς κορυφῆς ἰσοσκελοῦς τριγώνου ἀχθῇ κάθετος ἐπὶ τὴν βάσιν, τὸ διπλάσιον γινόμενον τῆς βάσεως ἐπὶ ἓν τῶν τμημάτων αὐτῆς εἶναι ἴσον πρὸς τὸ τετράγωνον τῆς μιᾶς τῶν ἴσων πλευρῶν τοῦ τριγώνου.



Ἔστω τὸ ἰσοσκελὲς τρίγωνον τὸ ΑΒΓ, ὅπου ΑΒ = ΒΓ. Ἐκ τοῦ σημείου Α φέρομεν τὸ ὕψος ΑΔ κάθετον ἐπὶ τὴν ΒΓ. Νὰ ἀποδειχθῇ ὅτι $2ΔΓ \times ΓΒ = ΑΓ^2$.

Ἄχθω γὰρ ἀπὸ τοῦ Α ἁ ΑΕ ποτ' ὀρθὰς τᾷ ΑΓ καὶ ἐκβεβλήσθω ἁ ΓΒ ἐπὶ τὸ Ε σαμεῖον. καὶ ἐπεὶ γωνία ἁ ὑπὸ ΕΑΓ ὀρθά ἐστι καὶ πλευρὰ ἁ ΑΒ πλευρᾷ τᾷ ΒΓ ἴσα, ἐσσεῖται καὶ ἁ ΑΒ τᾷ ΒΓ, τουτέστι τᾷ ΒΕ ἴσα. ἔστιν ἄρα πλευρὰ ἁ ΕΓ πλευρᾶς τᾶς ΓΒ διπλασίων καὶ τὸ ὑπὸ τᾶν ΕΓ, ΓΔ τῷ ἀπὸ τᾶς ΓΑ τετραγώνῳ ἴσον. δύο δὴ τρίγωνα τὰ ΑΓΔ, ΕΓΑ ὁμοῖά ἐντι, ἐπεὶ γωνίαι αἱ ὑπὸ ΕΑΓ, ΕΔΑ ὀρθαί ἐντι καὶ γωνία ἁ ὑπὸ ΑΓΔ κοινά ἐστι. ἐπεὶ οὖν ἁ ΕΓ τᾶς ΓΒ διπλασίων ἐστί, ἔστιν ἄρα τὸ δὶς ὑπὸ τᾶν ΓΒ, ΓΔ περιεχόμενον ὀρθογώνιον τῷ ἀπὸ τᾶς ΑΓ τετραγώνῳ ἴσον.

ιγ'

Εἴ κα ἀπὸ τᾶς κορυφᾶς τριγώνου τινὸς ἀχθῇ τις ποτ' ὀρθὰς τᾷ βάσει, λαφθέωντι δὲ τὰ ἀπὸ τῶν τμαμάτων καθ' ἃ ἁ ἀχθεῖσα τέμνει τὰν βάσιν τετράγωνα, ἐσσεῖται ἁ ὑπεροχὰ τῶν τετραγώνων τούτων τᾷ ὑπεροχᾷ τῶν ἀπὸ τῶν παρὰ τὰν βάσιν ποτικειμένων πλευρῶν τοῦ τριγώνου τετραγώνων ἴσα.

Ἔστω τρίγωνον τὸ ΑΒΓ καὶ ἁ ΑΔ ἀχθεῖσα ποτ' ὀρθὰς τᾷ βάσει ΒΓ. φαμὶ δή, ὅτι ἁ ὑπεροχὰ τοῦ ἀπὸ τᾶς ΑΒ τετραγώνου ἀπὸ τοῦ ἀπὸ τᾶς ΑΓ τετραγώνου τᾷ ὑπεροχᾷ τοῦ ἀπὸ τᾶς ΒΔ ἀπὸ τοῦ ἀπὸ τᾶς ΔΓ ἴσα ἐστίν.

Ἐπεὶ γὰρ δύο τρίγωνα τὰ ΑΔΒ, ΑΔΓ ὀρθογώνιά ἐντι, ἔστιν ἄρα τὸ ἀπὸ τᾶς ΑΒ τετράγωνον ἴσον τοῖς ἀπὸ τῶν ΑΔ, ΒΔ τετραγώνοις. καὶ τὸ ἀπὸ τᾶς ΑΓ τοῖς ἀπὸ τῶν ΑΔ, ΔΓ τετραγώνοις ἴσον ἐστίν. ἔστιν ἄρα ἁ ὑπεροχὰ τοῦ ἀπὸ τᾶς ΑΒ τετραγώνου τοῦ ἀπὸ τᾶς ΑΓ, τᾷ ὑπεροχᾷ τοῦ ἀπὸ τοῦ ΒΔ τετραγώνου τοῦ ἀπὸ τᾶς ΔΓ τετραγώνου ἴσα.

'Α π ό δ ε ι ξ ι ς: 'Εκ τοῦ σημείου Α φέρομεν τὴν ΑΕ κάθετον ἐπὶ τὴν ΑΓ καὶ προεκτείνομεν τὴν ΓΒ μέχρι τοῦ σημείου Ε. 'Επειδὴ ἡ γωνία ΕΑΓ εἶναι ὀρθὴ καὶ ΑΒ = ΒΓ, θὰ εἶναι ΑΒ = ΒΓ = ΒΕ. Εἶναι ἄρα ἡ πλευρὰ ΕΓ = 2ΓΒ καὶ ΕΓ × ΓΔ = $\Gamma\mathrm{A}^2$, (Εὐκλ. ς', η' πόρ.) διότι τὰ δύο τρίγωνα ΑΓΔ καὶ ΕΓΑ εἶναι ὅμοια (Εὐκλ. ς',η'), ἐπειδὴ γωνία ΕΑΓ = γωνία ΕΔΑ = 1 ὀρθὴ καὶ ἡ γωνία ΑΓΔ εἶναι κοινή. Καὶ ἐπειδὴ ΕΓ = 2ΓΒ θὰ ἔχωμεν 2ΓΒ × ΓΔ = $\mathrm{A}\Gamma^2$.

13

'Η διαφορὰ τῶν τετραγώνων τῶν τμημάτων, εἰς τὰ ὁποῖα ἡ βάσις τριγώνου τινὸς χωρίζεται ὑπὸ τοῦ ὕψους τοῦ τριγώνου, εἶναι ἴση πρὸς τὴν διαφορὰν τῶν τετραγώνων τῶν προσκειμένων εἰς τὴν βάσιν πλευρῶν.

"Εστω τυχὸν τρίγωνον ΑΒΓ καὶ ἡ εὐθεῖα ΑΔ κάθετος ἐπὶ τὴν πλευρὰν ΒΓ. Νὰ ἀποδειχθῇ ὅτι $\mathrm{AB}^2 - \mathrm{A}\Gamma^2 = \mathrm{B}\Delta^2 - \Delta\Gamma^2$.



'Α π ό δ ε ι ξ ι ς: "Ας θεωρήσωμεν τὰ δύο ὀρθογώνια τρίγωνα ΑΔΒ καὶ ΑΔΓ ἐκ τῶν ὁποίων θὰ ἔχωμεν

$$\mathrm{AB}^2 = \mathrm{A}\Delta^2 + \mathrm{B}\Delta^2, \text{ (Εὐκλ. α', μζ')} \qquad (1)$$

καὶ $$\mathrm{A}\Gamma^2 = \mathrm{A}\Delta^2 + \Delta\Gamma^2. \text{ (Εὐκλ. α', μζ').} \qquad (2)$$

'Αφαιροῦντες κατὰ μέλη τὴν δευτέραν ἰσότητα ἀπὸ τῆς πρώτης θὰ ἔχωμεν $\mathrm{AB}^2 - \mathrm{A}\Gamma^2 = \mathrm{B}\Delta^2 - \Delta\Gamma^2$.

ιδ'

Εἴ κα ἀπὸ τᾶς κορυφᾶς τᾶς ὀρθᾶς γωνίας τριγώνου ἀχθῇ τις εὐθεῖα ἐπὶ μέσαν τὰν ὑποτείνουσαν πλευράν, ἁ ἀχθεῖσα ἑκατέρῳ τῶν τμαμάτων τᾶς ὑποτεινούσας ἴσα ἐστίν.

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ ὀρθὰν γωνίαν ἔχον τὰν κατὰ τὸ Α, καὶ ἀπὸ τοῦ Α ἐπὶ μέσαν τὰν ΒΓ ὑποτείνουσαν ἄχθω ἁ ΑΔ. φαμὶ δή, ὅτι ἁ ἀγμένα ΑΔ ἑκατέρῳ τῶν τμαμάτων ΒΔ, ΔΓ ἴσα ἐστίν.

Ἄχθω γὰρ ἀπὸ τοῦ Δ σαμείου ἁ ΔΕ παρὰ τὰν ΒΑ πλευράν. Ἐπεὶ οὖν ἁ ΒΔ τᾷ ΔΓ ἴσα ἐστὶν καὶ ἁ ΔΕ ἆκται παρὰ τὰν ΒΑ, ἔστιν ἄρα ἁ ΑΕ τᾷ ΕΓ ἴσα καὶ ἑκατέρα τῶν ὑπὸ ΑΕΔ, ΔΕΓ γωνιῶν ὀρθά ἐστι. ἐπεὶ οὖν δύο τρίγωνα ἐντὶ τὰ ΑΔΕ, ΓΔΕ, ἔχοντα γωνίαν τὰν ΔΕΑ γωνίᾳ τᾷ ΔΕΓ ἴσαν, πλευρὰν δὲ τὰν ΑΕ τᾷ ΕΓ ἴσαν, τὰν δὲ ΔΕ κοινάν, ἔστιν ἄρα πλευρὰ ἁ ΑΔ τᾷ ΔΓ, τουτέστι τᾷ ΒΔ ἴσα.

ιε'

Εἴ κα ἀπὸ τᾶς κορυφᾶς ἰσοσκελοῦς τριγώνου ἀχθῇ εὐθεῖά τις ἐπὶ τὰν βάσιν, τὸ περιεχόμενον ὑπὸ τῶν τμαμάτων τᾶς βάσιος μετὰ τοῦ ἀπὸ τᾶς ἀχθείσας τετραγώνου τῷ τετραγώνῳ ἑκατέρας τῶν ἴσων πλευρῶν ἴσον ἐστίν.

Ἔστω τρίγωνον ἰσοσκελὲς τὸ ΑΒΓ ἔχον πλευρὰν τὰν ΑΒ τᾷ ΑΓ ἴσαν καὶ ἀπὸ τᾶς κορυφᾶς Α ἄχθω ἐπὶ τὰν βάσιν τὰν ΒΓ εὐθεῖά τις ἁ ΑΔ. φαμὶ δή, τὸ ὑπὸ τῶν τμαμάτων ΒΔ, ΔΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τᾶς ΔΑ τῷ ἀπὸ τᾶς ΑΓ ἴσον εἶμεν.

14

Ἡ διχοτομοῦσα τὴν ὑποτείνουσαν ὀρθογωνίου τριγώνου εἶναι ἴση πρὸς ἕκαστον τῶν τμημάτων αὐτῆς.

Ἔστω τὸ ὀρθογώνιον τρίγωνον ΑΒΓ, ὅπου ἡ γωνία ΒΑΓ εἶναι ὀρθή. Λαμβάνομεν σημεῖόν τι Δ εἰς τὸ μέσον τῆς ὑποτεινούσης ΒΓ καὶ φέρομεν τὴν ΑΔ. Νὰ ἀποδειχθῇ ὅτι ΑΔ = ΒΔ = ΔΓ.



Ἀ π ό δ ε ι ξ ι ς: Ἐκ τοῦ σημείου Δ φέρομεν τὴν ΔΕ παράλληλον πρὸς τὴν ΒΑ. Ἐπειδὴ ΒΔ = ΔΓ καὶ ΔΕ παράλληλος πρὸς τὴν ΒΑ, ἡ ΑΕ = ΕΓ. Καὶ ἑκάστη τῶν γωνιῶν ΑΕΔ, ΔΕΓ εἶναι ὀρθὴ (Εὐκλ. α′, κθ′). Ἄς θεωρήσωμεν τὰ δύο τρίγωνα ΑΔΕ καὶ ΓΔΕ. Τὰ τρίγωνα ταῦτα εἶναι ἴσα διότι ἡ γωνία ΑΕΔ εἶναι ἴση μὲ τὴν γωνίαν ΔΕΓ = 1 ὀρθὴν καὶ ΑΕ = ΕΓ καὶ ἡ πλευρὰ ΔΕ εἶναι κοινή. Θὰ εἶναι ἄρα ΑΔ = ΔΓ. Ἐξ ὑποθέσεως δὲ εἶναι ΔΒ = ΔΓ. Θὰ εἶναι ἄρα ΑΔ = ΔΒ = ΔΓ (Εὐκλ. α′, δ′ καὶ κοιναὶ ἔνν. α′).

15

Τὸ γινόμενον τῶν τμημάτων τῆς βάσεως ἰσοσκελοῦς τριγώνου, εἰς τὰ ὁποῖα αὕτη τέμνεται ὑπὸ εὐθείας ἀγομένης ἐκ τῆς κορυφῆς τοῦ τριγώνου, σὺν τὸ τετράγωνον τῆς τεμνούσης εἶναι ἴσον πρὸς τὸ τετράγωνον ἑκάστης τῶν ἴσων πλευρῶν.

Ἔστω τὸ ἰσοσκελὲς τρίγωνον ΑΒΓ, ὅπου ΑΒ = ΑΓ. Ἐκ τοῦ σημείου Α φέρομεν τυχοῦσαν εὐθεῖαν τέμνουσαν τὴν ΒΓ εἴς τι σημεῖον Δ. Νὰ ἀποδειχθῇ ὅτι $\mathrm{B\Delta} \times \mathrm{\Delta\Gamma} + \mathrm{\Delta A}^2 = \mathrm{A\Gamma}^2$.

Ἄχθω γὰρ ἀπὸ τοῦ Α σαμείου βάσει τᾷ ΒΓ ποτ' ὀρθάς, ἁ ΑΕ. ἐπεὶ οὖν εὐθεῖα ἁ ΒΓ τέτμαται εἰς ἴσα μὲν κατὰ τὸ Ε, εἰς ἄνισα δὲ κατὰ τὸ Δ, ἐσσεῖται τὸ ὑπὸ τᾶν ἀνισᾶν τᾶς ὅλας τμαμάτων περιεχόμενον ὀρθογώνιον ΒΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τᾶς μεταξὺ τῶν τομῶν τᾶς ΕΔ τετραγώνου, τῷ ἀπὸ τᾶς ἁμισείας τᾶς ΕΓ τετραγώνῳ ἴσον. κοινὸν ποτικείσθω τὸ ἀπὸ τᾶς ΑΕ τετράγωνον. ἔστιν ἄρα τὸ ὑπὸ τᾶν ΒΔ, ΔΓ μετὰ τῶν ἀπὸ τῶν ΕΔ, ΑΕ τετραγώνων ἴσον τοῖς ἀπὸ τῶν ΕΓ, ΑΕ τετραγώνοις. ἀλλὰ τὰ ἀπὸ τῶν ΑΕ, ΕΔ τετράγωνα ἴσα ἐντὶ τῷ ἀπὸ τᾶς ΑΔ τετραγώνῳ καὶ τοῖς ἀπὸ τῶν ΑΕ, ΕΓ, τουτέστι τῷ ἀπὸ τᾶς ΑΓ. ἔστιν ἄρα τὸ περιεχόμενον ὑπὸ τᾶν ΒΔ, ΔΓ ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τᾶς ΑΔ τετραγώνου ἴσον τῷ ἀπὸ τᾶς ΑΓ τετραγώνῳ.

ιϛ'

Εἴ κα ἀπὸ τᾶς κορυφᾶς ἰσοσκελοῦς τριγώνου ἀχθέωντι δύο εὐθεῖαι τεμνέουσαι τὰν βάσιν, ὁ λόγος δὲ τοῦ περιεχομένου ὑπὸ τῶν τμαμάτων τᾶς βάσιος τᾶς πρώτας τομᾶς ποτὶ τὸ ἀπὸ τᾶς τεμνούσας τετράγωνον ὁ αὐτός ἐστιν, τοῦ, ὃν ἔχει τὸ περιεχόμενον ὑπὸ τῶν τμαμάτων τᾶς βάσιος τᾶς ἑτέρας τομᾶς ποτὶ τὸ ἀπὸ τᾶς ἑτέρας τεμνούσας τετράγωνον, αἱ τεμνέουσαι ἴσαι ἀλλάλαις ἐντί.

Ἔστω τρίγωνον ἰσοσκελὲς τὸ ΑΒΓ καὶ ἀπὸ τᾶς κορυφᾶς Α ἄχθων δύο εὐθεῖαι ἐπὶ τὰν βάσιν ΒΓ, αἱ ΑΕ, ΑΔ οὕτως, ὥστε τὸν λόγον τοῦ περιεχομένου ὑπὸ τᾶν ΒΔ, ΔΓ ὀρθογωνίου ποτὶ τὸ ἀπὸ τᾶς ΑΔ τετράγωνον ἴσον εἶμεν τοῦ, ὃν ἔχει τὸ ὑπὸ τᾶν ΓΕ, ΕΒ ποτὶ τὸ ἀπὸ τᾶς ΑΕ τετράγωνον. φαμὶ δή, ὅτι αἱ τεμνέουσαι ΔΑ, ΑΕ ἴσαι ἀλλάλαις ἐντί.

Ἀ π ό δ ε ι ξ ι ς: Ἐκ τοῦ σημείου Α φέρομεν τὴν ΑΕ κάθετον ἐπὶ τὴν ΒΓ. Ἐπειδὴ ἡ πλευρὰ ΒΓ ἔχει διαιρεθῆ εἰς τὸ σημεῖον Ε εἰς δύο ἴσα τμήματα καὶ εἰς τὸ σημεῖον Δ εἰς δύο ἄνισα τμήματα, θὰ



ἔχωμεν $ΒΔ \times ΔΓ + ΕΔ^2 = ΕΓ^2$ (Εὐκλ. β′,ε′). Ἄς προσθέσωμεν εἰς ἀμφότερα τὰ μέλη τὸ $ΑΕ^2$ ὁπότε θὰ ἔχωμεν $ΒΔ \times ΔΓ + ΕΔ^2 + ΑΕ^2 = ΕΓ^2 + ΑΕ^2$. Ἀλλὰ $ΑΕ^2 + ΕΔ^2 = ΑΔ^2$ (Εὐκλ. α′, μζ′) καὶ $ΑΕ^2 + ΕΓ^2 = ΑΓ^2$. Θὰ εἶναι ἄρα $ΒΔ \times ΔΓ + ΑΔ^2 = ΑΓ^2$.

16

Ἐὰν ἐκ τῆς κορυφῆς ἰσοσκελοῦς τριγώνου ἀχθῶσι δύο εὐθεῖαι τέμνουσαι τὴν βάσιν, τὸ γινόμενον δὲ τῶν τμημάτων τῆς βάσεως ἐκ τῆς μιᾶς τομῆς διὰ τοῦ τετραγώνου τῆς τεμνούσης εἶναι ἴσον πρὸς τὸ γινόμενον τῶν τμημάτων τῆς βάσεως τῆς ἄλλης τομῆς διὰ τοῦ τετραγώνου τῆς ἄλλης τεμνούσης, αἱ τέμνουσαι εἶναι ἴσαι μεταξύ των.

